44 συντέθειται· μακρὰν γὰρ ἑκατέρωθεν τέθεικεν] συντέθεικε μακρὰν ἑκατέρωθεν θεὶς καὶ ἐν τῷ μέσῳ S.

μέτρον λέγει, ἀλλ' ὡς πρῶτος τούτῳ τῷ μέτρῳ τὰ ὅλα ποιήματα γράψας.

ΚΕΦ. Ι'.

ΠΕΡΙ ΑΝΤΙΣΠΑΣΤΙΚΟΥ.

Τὸ ἀντισπαστικὸν τὴν μὲν πρώτην συζυγίαν ἔχει τρεπομένην κατὰ τὸν πρότερον πόδα εἰς [g] *τὰ τέσσαρα τοῦ δισυλλάβου σχήματα· τὰς δὲ ἐν μέσῳ, καθαρὰς ἀντισπαστικάς· τὴν δὲ τελευταίαν ὁπότε ἐστὶν ἀκατάληκτον, ἰαμβικήν· ἐὰν* [h] *δὲ ἀναμίσγηται ταῖς ἰαμβικαῖς,*

[g] τὰ deest Turn. Dracon. et suprascriptum habet E. Mox τετρασυλλάβου C. cum δισυλλάβου in marg. τῶν δισυλλάβων Draco.

[h] δέ που] ποῦ deest Fl. H.B. P.E. et forte aliis.

5. Τὸ ἀντισπαστικὸν] Τὸ ἀντισπαστικὸν δέχεται τὸν πρῶτον πόδα ἀντίσπαστον, ἢ ἐπίτριτον τέταρτον, ἢ παίωνα [45]τρίτον, ἢ διτρόχαιον· τὰς δὲ μέσας, ἀντισπαστικὰς καὶ ἰαμβικάς· τὴν δὲ τελευταίαν ὅτε ἐστὶν ἀκατάληκτον, ἰαμβικήν· ὅτε δὲ καταληκτικὸν, τὴν ταῖς ἰαμβικαῖς ἑπομένην συζυγίαν, τρεπομένην κατὰ τὸν πρῶτον πόδα εἰς [46]τὰ τέσσαρα τοῦ δισυλλάβου σχήματα.

ib. Ἰστέον δ' ὅτι παρέλειψέ τινα τοῦ ἀντισπαστικοῦ μέτρου ὁ τεχνικός· ἀλλὰ δεῖ λέγειν ὡς πολλοὶ τῶν ἄλλων μετρικῶν φασὶν ὅτι δέχεται τὸν πρῶτον πόδα ἀντίσπαστον ἢ ἐπίτριτον τέταρτον, τουτέστιν ἐκ τριῶν μακρῶν καὶ μιᾶς βραχείας· ἢ παίωνα δεύτερον, τουτέστιν ἐκ βραχείας καὶ μακρᾶς καὶ δύο βραχειῶν· ἢ διτρόχαιον ἐκ μακρᾶς καὶ βραχείας καὶ μακρᾶς καὶ βραχείας, τὰς δὲ μέσας ἀντισπαστικὰς καὶ ἰαμβικάς· τὴν δὲ τελευταίαν ὅτε ἐστὶν ἀκατάληκτον ἰαμβικὴν, ὅτε δὲ καταληκτικὸν καὶ ταῖς ἰαμβικαῖς ἑπόμενον συζυγίαις. τρέπεται δὲ ὁ πρῶτος ποὺς ἔστιν ὅτε ὥς φησιν εἰς τὰ δ' σχήματα τοῦ δισυλλάβου, οἱονεὶ πυρρίχιον καὶ σπονδεῖον καὶ ἴαμβον καὶ τροχαῖον. καθόλου γὰρ ὁ πρῶτος ποὺς ἄλλο ἐστὶ καὶ ἄτακτος, ἔστι δ' ὅτε αὐτὸς ὁ πρῶτος ποὺς σπονδεῖος ὢν δυνάμει λύεται εἰς δάκτυλον τῆς δευτέρας συλλαβῆς τοῦ σπονδείου διαλυομένης εἰς δύο βραχείας, ἢ ἐκ τοῦ ἐναντίου εἰς ἀνάπαιστον τῆς πρώτης συλλαβῆς πάλιν διαλυομένης· ὁ δὲ τροχαῖος καὶ ὁ ἴαμβος εἰς τρίβραχυν, τῆς μακρᾶς πάλιν εἰς δύο βραχείας διαλυομένης. ὁ γὰρ πυρρίχιος ἐκ δύο βραχειῶν συγκείμενος οὐκ εἶχεν εἰς τί διαλύεσθαι· "ἐὰν δὲ ἀναμίσγηται ταῖς ἰαμβικαῖς τὰ "ἀναπαιστικὰ (ἀντισπαστικὰ S.), οὐ μόνον ἔχει τὴν πρώτην συζυγίαν τρεπο-"μένην κατὰ τὸν πόδα τὸν δεύτερον, ἀλλὰ καὶ ταῖς ἰαμβικαῖς ἑπομένην" ὃ θέλει εἰπεῖν τοιοῦτόν ἐστι· ὅτι συμβαίνει τὰ ἀντισπαστικὰ οὐ μόνον τὴν πρώτην συζυγίαν παρανομεῖν, ἀλλ' ἐὰν ἐπιμίσγηται αὐτοῖς βάσις ἰαμβικὴ ἑπομένη τῇ ἰαμβικῇ παρανομηθήσεται παρὰ τὴν ἄρχουσαν· ὅτε δ' οὐκ ἀναμίσγονται αὐτῷ τὰ ἰαμβικὰ, καθαρεύει περὶ τὰς ἑξῆς ὁ ἀντίσπαστος. S.

9. ἐὰν δέ που] Τοῦτο φησὶν, ὅτι ἐὰν ἀναμίσγηται ταῖς ἰαμβικαῖς ὁ ἀντίσπαστος, οὐ μόνον ἔχει τὴν πρώτην συζυγίαν τρεπομένην κατὰ τὸν πρότερον

45 τρίτον] δεύτερον E. & S. 46 τέσσαρα] τὰ τέσσαρα S.

οὐ μόνον τὴν πρώτην συζυγίαν ἔχει τρεπομένην κατὰ τὸν [i]πρότερον πόδα, ἀλλὰ καὶ τὴν ταῖς ἰαμβικαῖς ἑπομένην. Ἔστι δὲ ὅτε καὶ λύεται ὁ πρότερος ποὺς εἰς
2 τρίβραχυν. Καὶ ἔστιν ἐπίσημα ἐν αὐτῷ τάδε· πενθημιμερὲς μὲν, τὸ καλούμενον [k]ΔΟΧΜΙΑΚῸΝ, οἷον,

[i] πρότερον] δευτερον (πρό) E.

[k] δοχμαϊκὸν edd. et MSS. nonnulli cum Tricha de Metris p. 30. Sed δοχμιακὸν præbent C.P.E. Marius Victorinus, p. 2534. Plotius, p. 2657. aliique: et sic dudum emendavit Meibomius ad Aristid. Quint. p. 266. ex Etymologo M. p. 285, 25. cujus hæc sunt verba: Δοχμιακὸς, εἶδος μέτρου ἀντισπαστικοῦ· ἔστι δὲ μονόμετρον ὑπερκατάληκτον·

Ἐγὼ δ' οὔτε σοὶ—

ἔστι δὲ Εὐριπίδου Φοινισσῶν. (357.) Πολλὰ ῥυθμῶν ὀνόματα καὶ ἄλλα· ἀτὰρ δὴ καὶ ταῦτα, ἴαμβος, ἰαμβικός· δάκτυλος, δακτυλικός· παίων, ἐπίτριτος. οὗτοι μὲν οὖν ὀρθοί εἰσι

πόδα εἰς τοὺς τέσσαρας πόδας τοὺς δισυλλάβους, ἀλλὰ καὶ μετὰ τὴν ἰαμβικὴν συζυγίαν, τίθεται ὁ ἀντίσπαστος· καὶ πάλιν ὁ πρῶτος αὐτοῦ ποὺς τρέπεται εἰς τοὺς τέσσαρας τοὺς δισυλλάβους. Ἔστι γὰρ ἡ πρώτη διποδία ἀντίσπαστος, ἡ δευτέρα ἰαμβικὴ, καὶ ἡ τρίτη πάλιν ἀντίσπαστος, καὶ τρέπεται κατὰ τὸν πρότερον πόδα. [47]τοῦτο κατὰ πόδα συμβαίνει. δύο γάρ ἐστι· κῶλα δὲ, ποδῶν ἁπλῶν δύο, καὶ συλλαβῆς.

5. ΔΟΧΜΙΑΚΌΝ] Ἰστέον γὰρ ὅτι τὸ δοχμιακὸν σύγκειται ἐξ ἀντισπάστου καὶ συλλαβῆς, ὡς πρὸς τὸν μετρικὸν χαρακτῆρα. οἱ μέντοι μετρικοὶ τὸ πᾶν μέτρον ὡς μίαν συζυγίαν λαμβάνοντες δοχμιακὸν ὀνομάζουσι διὰ τὴν τοιαύτην αἰτίαν· Οἱ προειρημένοι, ῥυθμοὶ, ἴαμβος, παιὼν, ἐπίτριτος, ὀρθοὶ καλοῦνται, ἐν ἰσότητι γὰρ κεῖνται· καθὸ ἕκαστος τῶν ἀριθμῶν μονάδι πλεονεκτεῖται· ἡ γὰρ μονάς ἐστι πρὸς δυάδα, ἡ δυὰς πρὸς τριάδα, ἡ τριὰς πρὸς τετράδα· τουτέστι μακρὸς χρόνος πρὸς βραχείας, ὡς ἐν τῷ δακτύλῳ τυχὸν, μονὰς πρὸς δυάδα· ἐν δὲ τῷ δοχμίῳ ἐπίτριτός ἐστι καὶ συλλαβή· εὑρίσκεται οὖν ἡ διαίρεσις τριὰς πρὸς πεντάδα οὐκέτι ὀρθή. οὗτος οὖν ὁ ῥυθμὸς οὐκ ἠδύνατο ὄρθιος καλεῖσθαι, ἐπεὶ μονάδι πλεονεκτεῖται. ἐκλήθη οὖν δόχμιος, ἐν ᾧ τὸ τῆς ἀνισότητος μεῖζον ἢ κατὰ τὴν εὐθεῖαν κρίνεται. ἐνταῦθα οὖν δόχμιον ῥυθμὸν φησὶν, ἴαμβον καὶ παιῶνα πρῶτον, τουτέστιν ἐκ βραχείας καὶ μακρᾶς καὶ μακρᾶς καὶ τριῶν βραχειῶν· τινὲς γὰρ οὕτω μετροῦσι. καὶ ἔστιν ἡ ται συλλαβὴ εἰς β' βραχέα λογιζομένη τοῦ παιῶνος, ἵνα τὸ μαίεται πρῶτος παίων ᾖ. τὸ δὲ τέλος τῆς δευτέρας χρήσεως ἀντὶ μακρᾶς ἔχει τὸ τέλος λυόμενον εἰς δύο βραχείας. καὶ πάλιν ποιεῖ τὸ παιωνικὸν, τὸ καλούμενον Γλυκώνειον, Κωμικὸς δὲ ἦν ὁ Γλύκων, οὗ καὶ δρᾶμα φέρεται κωμικὸν, οἱ [48]Φράτορες. S.

47 τοῦτο—καὶ συλλαβῆς om. S.

48 Fabulæ, cui titulus Φράτορες, non *Glycon* sed *Leucon* auctor fuit. Vid. Meinekii Fr. Com. T. II. p. 749. Schol. Æschyli S. Theb. 103. ὁ μέντοι ὀκτάσημος ῥυθμὸς οὗτος πολύς ἐστιν ἐν θρηνῳδίᾳ, καὶ ἐπιτήδειος πρὸς θρήνους καὶ στεναγμούς. ἔστι δὲ δοχμιακά. ὅμοιον τὸ πόλεμος αἴρεται πρὸς ἐμὲ καὶ θεοὺς παρὰ Ἀριστοφάνει ἐν Ὄρνισιν (1189) ἀλλὰ καὶ παρ' Εὐριπίδη Ἐγὼ δ' οὔτε σοι πυρὸς ἀνῆψα φῶς νόμιμον ἐν γάμοις. Idem ad v. 128. καὶ ταῦτα δόχμικά (sic) ἐστιν καὶ ἴσα, ἐάν τις αὐτὰ ὀκτασήμως βαίνῃ. κυρίως δὲ εἶπον βαίνῃ· ῥυθμοὶ γάρ εἰσι· βαίνονται δὲ οἱ ῥυθμοὶ, διαιρεῖται δὲ τὰ μέτρα, οὐχὶ βαίνεται.

[l]κλύειν μαίεται

[m]τὸν ἐγχώριον.

3 ἐφθημιμερὲς δὲ, τὸ καλούμενον [n]Φερεκράτειον, [Fr. Com. Meinek. T. II. p. 283.]

ῥυθμοὶ, ἐν ἰσότητι γὰρ κεῖνται· ἡ γὰρ μονὰς πρὸς δυάδα, ἡ δυὰς (Santen. ad Terent. Maur. p. 129. "excidit, puto, πρὸς δυάδα· ἡ δυὰς") πρὸς τριάδα, ἡ τριὰς πρὸς τριάδα (lego τετράδα Santen.)· ἡ τριὰς πλεονεκτεῖται μονάδος. ἐν τῷ δοχμιακῷ τριάς ἐστι πρὸς πεντάδα, καὶ δυὰς ἡ πλεονεκτοῦσα. οὗτος οὖν ὁ ῥυθμὸς οὐκ ἠδύνατο καλεῖσθαι ὀρθός· ἐκλήθη τοίνυν δοχμιακὸς, ἐν ᾧ τὸ τῆς ἀνισότητος μεῖζον ("f. οὐ excidit" Santen.) κατὰ τὴν εὐθεῖαν κρίνεται. καὶ τὸ μέτρον οὖν δοχμιακὸν, ὡς ἐμπιπτόντων ἐν αὐτῷ τῶν ὀκτὼ χρόνων. Santenius: "Verba Etymologi, quamvis corrupta et "mutila credam, hoc tamen velle "videntur, ut omnes rhythmi "rationis æquæ sive dactylicæ, "vel duplex sive iambicæ, vel "sescuplæ sive pæonicæ, vel "sesquitertiæ sive epitritæ, recti "sive ὀρθοὶ dicantur; hic vero, "quia nulla earum rationum in "eum cadit, dochmius sive obli"quus. Verus enim dochmius "trium est et quinque temporum, "quem numerum a proportione "rhythmica excludit Aristides "Mus. I. p. 41, 20. μερίζων τὴν "ὀκτάδα πάλιν εἰς τριάδα καὶ πεν"τάδα, οὐδ' οὕτως ἔσται ῥυθμικὸς "λόγος." Seidlerus De versibus Dochmiacis p. 402. "Legendum "videtur, ἡ γὰρ μονὰς πρὸς δυάδα, "ἡ δυὰς πρὸς τριάδα, ἡ τριὰς πρὸς "τετράδα πλεονεκτεῖται μονάδος. "Causa corruptelæ fuit aberratio "oculorum ad antecedentia. Di"cit, opinor, hoc: Numeri recti "vocantur, quorum partes æqua"litatem quandam inter se ha"bent. Plane æquales sunt eæ "partes, quæ moris inter se non "differunt, veluti dactyli, cujus "utraque pars binas moras com"plectitur, δυάς ἐστι πρὸς δυάδα "⏖|⏑⏑. Hoc quoniam aper"tum est neque explicatione "eget, dactyli rationem Etymo"logus silentio transmisit. Ve"rum æquales eæ quoque partes "putantur, quarum differentia "unius tantum moræ est, ut "quæ integrum pedem nondum "expleat, veluti iambi, pæonis, "epitriti: in quibus ⏑|⏖ ἡ μο"νὰς πρὸς δυάδα, ⏖|⏑⏑⏑ ἡ δυὰς "πρὸς τριάδα, ⏑ ⏖|⏖ ⏖ ἡ τριὰς "πρὸς τετράδα, πλεονεκτεῖται μονά"δος. Jam vero in dochmiaco "numero altera pars tres, altera "quinque moras continet, τριάς ἐστι "πρὸς πεντάδας, ⏑ ⏖|⏖ ⏑ ⏖; "posterior igitur pars priorem "duabus moris ideoque integro "pede pyrrhichio superat, δυάς "ἐστιν ἡ πλεονεκτοῦσα. Quæ par"tium differentia quum nimis "ab æqualitate distare existima"retur, non potuit dochmiacus "numerus rectis adnumerari, sed "vocatus est *obliquus*, δοχμιακός. "Compara, Hermanno monente, "Aristid. Quintil. p. 35." Vide Boeckium De Metris Pindari p. 45.

[l] μαίετε] μαίεται e cod. Heidelb. prætulit Hermannus El. D. M. p. 240. et sic S. in Schol.

[m] τὸν ἐγχώριον] Sic Fl. τὸ ἐγχ. E. Turn.

[n] Φερεκράτειον] Tricha p. 30. Φερεκράτειον λέγεται ὡς κατακόρως τούτῳ χρησαμένου τοῦ Φερεκράτους· πολλῷ δὲ αὐτῷ κέχρηται καὶ ἡ ποιήτρια Κορίννη.

[o]*ἄνδρες, πρόσχετε τὸν νοῦν*
ἐξευρήματι καινῷ,
συμπτύκτοις ἀναπαίστοις.

4 δίμετρον δὲ ἀκατάληκτον, τὸ καλούμενον Γλυκώνειον, [p]αὐτοῦ Γλύκωνος εὑρόντος αὐτό· [Bergk. p. 1057. n. 78.]

κάπρος ἡνίχ' ὁ μαινόλης
ὀδόντι σκυλακοκτόνῳ
Κύπριδος θάλος ὤλεσε.

5 δίμετρον δὲ ὑπερκατάληκτον, τὸ καλούμενον Σαπφικὸν ἐννεασύλλαβον, ἢ Ἱππωνάκτειον· οἷον,

καὶ [q]*κνίσῃ τινὰ* [r]*θυμήσας.*

6 τῶν δὲ τριμέτρων, τὸ μὲν καταληκτικὸν, τὸ μόνην τὴν πρώτην [s]ἀντισπαστικὴν ἔχον τὰς δὲ ἑξῆς ἄλλας ἰαμβικὰς, [t]Φαλαίκειον καλεῖται· οἷον, [Cratini fr. inc. 22. Meinek.]

[u]*χαῖρ' ὦ χρυσόκερως, βαβάκτα, κήλων*
Πὰν, Πελασγικὸν Ἄργος [x]*ἐμβατεύων.*

[o] Pherecratis versus, (vide infra XV. 15.) e nostro, ut videtur, citat Scholiastes Aristoph. Nub. 563. *προσέχετε* C.S. Codd. nonnulli *συμπήκτοις.* sic sane E. in marg. qui et *συμμίκτοις* habet. Fl. P. *συμπύκτοις.* C.P. in marg. *συμπίκτοις.*

[p] *αὐτοῦ τοῦ*] *τοῦ* deest Turn. C.P.E.

[q] *κνίσσῃ*] *κνίσῃ* C.P.

[r] *θωμήσας* Turn. *θυμήσας* E. *θυμιάσας* (η superscr.) P. Ad h. l. gl. Hesychii Θωμεῦσαι refert Sopingius. Male.

[s] *ἀναπαιστικὴν* B. *ἀνασπαστικὴν* H.

[t] *Φαλαίκειον*] *Φαλάκειον* E. et in schol.

[u] *χαῖρε*] Etymolog. M. p. 183, 42. Βαβάκτης, ὀρχήστης, λάλος, μα-

1. *ἄνδρες*] Ἐκ Κοριαννοῦς· ὡς κατὰ ἁπλοῦν δὲ πόδα βαῖνον, ἐφθημιμερὲς εἴρηται. ἔστι δὲ ποδῶν ἁπλῶν τριῶν καὶ συλλαβῆς. ἔστι δὲ ὁ πρῶτος ποὺς τέταρτος ἐπίτριτος, ἐκ τριῶν μακρῶν καὶ βραχείας, ἤτοι ἀντίσπαστος· εἶτα ἴαμβος καὶ συλλαβή.

2. *ἐξευρήματι*] Ἰστέον οὖν ὅτι τινὲς εὕρημα φασὶν, ὅπερ οὐ δεῖ· εὕρηται μὲν γὰρ καὶ εὕρησις καὶ εὕρεσις· καὶ Ἀττικοί τινες ἑκατέρως φασίν· ἔστι γὰρ σύγγραμμα παρὰ Θεοφράστῳ περὶ εὑρέσεως· ἀλλὰ διὰ τοῦ ε ἐν ἰάμβῳ, οὐχ εὕρεσις τοῦτ' ἔστιν, ἀλλ' ἀφαίρεσις. ἐν τοῖς Ἐπιτρέπουσι καὶ εὕρημα διὰ τοῦ η· εὕρημα δ' οὐκ οἶσθ' οἷον εὕρηκας τόδε. οὐ μὴν διὰ τοῦ ε εὕρεμα. S. Vide Lobeck. ad Phrynich. p. 445.

11. *καὶ κνίσσῃ*] Μετὰ διποδίαν συλλαβὴ ἐπὶ τῶν ὑπερκαταλήκτων εὑρίσκεται· εἰσὶν οὖν δύο ἀντίσπαστοι καὶ συλλαβή.

14. Φαλλαίκειον φησὶ μέτρον, οἱονεὶ Φιλήκειον ἀπὸ Φιλήκου τοῦ προειρημένου. τὸ δὲ χαίρ' ὦ χρυσόκερως βαβάκτα κήλων Κρατίνου ἐστι. S.

16. *χαῖρ' ὦ*] Ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν, ὃ καλεῖται Φαλαί-

7 τὸ δὲ ἀκατάληκτον, τὸ μόνην τὴν τελευταίαν ἔχον ἰαμβικὴν, καλεῖται [y] Ἀσκληπιάδειον, οἷον [z] τὸ Ἀλκαίου, (p. 105. Ursin. 33 Bergk.)

> ἦλθες ἐκ περάτων γᾶς, ἐλεφαστίναν
> λαβὰν τῶ ξίφεος χρυσοδέταν ἔχων.

8 τὸ δὲ μέσην μὲν ἔχον τὴν ἀντισπαστικὴν, τρεπομένην [a] κατὰ τὸν πρότερον πόδα εἰς τὰ τέσσαρα τοῦ δισυλ-

νιώδης, βακχεύτης, λέγεται δὲ καὶ ὁ Πάν. Κρατῖνος, Χαῖρε χρυσόκερω βαβάκτα κήλων Πάν. βαβάκτρα κῆλ. F.H.D. βαβάκτρα (E. marg.) κήλων N. βαβάκτα κήλων C.S. βαβάκτα γάλλων Turn. γάλλων item E. cum κήλων pro v. l. contra P. κήλων in textu, γάλλων in marg. De voce κήλων consulas Eustathium ad Il. β'. p. 258. pen.= 196, 15. Od. θ'. 1597, 28.= 310, 2. Etymolog. M. p. 510, 50. Lectioni γάλλων aliqua saltem ex parte patrocinabitur Eustath. Od. δ'. p. 1494, 61.=166, 18. τὰ μέντοι ἐναντία τοῦ ἀβακεῖν, βάβαξ, ἤτοι λάλος, μαινόμενος, ἄσωτος, γάλλος, κατὰ τοὺς παλαιούς. οὗ χρῆσις καὶ παρὰ Λυκόφρονι (472.) ὁ δ' αὐτὸς καὶ βαβάκτης ἐκ τοῦ βάζειν. Sed omnes MSS. edd. habent χαῖρ' ὦ χρυσόκερως. D'ORVILL.

[x] ἐμβατεύων illustrat Arnaldus citans Soph. Œd. Col. 679. (710.) Euripid. Rhes. 225. Æschyl. Pers. 447. In fragmento Telephi Euripidei apud Dionys. Halic. T. II. p. 59=Συνθεσ. p. 256. ed. Upton. recte reposuit Musgravius ὅς τε πέτρον Ἀρκάδων δυσχείμερον Πὰν ἐμβατεύεις. Euripidis versus ob oculos proculdubio habuit Castorio Athenæi X. p. 455 A.

[y] Ἀσκληπιάδειον] Isidorus Etymol. I. 39. (*Metra vocantur*) *a frequentatoribus, ut Asclepiadea. Non enim ea Asclepius invenit, sed proinde ita vocata sunt, quod eis idem frequentissime et elegantissime usus est.*

[z] τὸ Ἀλκαίου desunt Fl. H. B. mox ἦλθεν Fl. H. ἦλθον B. Tum ἐλεφαντίνων Fl.

[a] κατὰ τὸν ἕτερον Edd. MSS. Immo contra omnes libros posui πρότερον. Pes prior secundæ dipodiæ potest esse quivis disyllabus. Versus enim constat ex iambica dipodia, ante Glyconium, et in initio Glyconii pes prior antispasticæ est e quovis disyllabo. HOTCHKIS. ἀδιάφορον ἔχουσα τὸν πρῶτον πόδα Schol. et κατὰ τὸν πρῶτον supra in prin-

κειον. Δέχεται δὲ ἕνα ἀντίσπαστον, ἤτοι τέταρτον ἐπίτριτον, καὶ τρεῖς ἰάμβους, καὶ συλλαβήν.

4. ἦλθες] Ἀντισπαστικὸν τρίμετρον ἀκατάληκτον, ὃ καλεῖται Ἀσκληπιάδειον· ἔστι δὲ ποδῶν ἁπλῶν ἕξ, τὴν τελευταίαν μόνον ἔχον ἰαμβικὴν, [49] τὴν λεφαντίναν. Πρὸς τὸ ἄνω δὲ [50] τὸ, τὸ μὲν καταληκτικὸν, τὸ δὲ ἀκατάληκτον, ἐπήγαγε τὸ Ἀσκληπιάδειον, ἐκ δύο τροχαίων, καὶ ἀντισπάστου, καὶ δύο ἰάμβων τελείων· ἀκατάληκτον γάρ ἐστι· καὶ τὸ ἑξῆς πάλιν, τρίμετρον ἀκατάληκτον, ἐκ δύο ἀντισπάστων καὶ [51] ἐκ δύο ἰάμβων.

49 τὴν λεφαντίναν] τὸ ἦλθες ἐκ E. 50 τὸ] τῷ E. 51 ἐκ δύο] ἐκ om. E.

λάβου[b] σχήματα, ἑκατέρωθεν δὲ τὰς ἰαμβικὰς, ὧν ἡ πρώτη καὶ ἀπὸ σπονδείου ἄρχεται, [c]Ἀλκαϊκὸν καλεῖται δωδεκασύλλαβον, οἷον, [Alcæi Fr. 62 Bergk.]

[d]κόλπῳ σ' ἐδέξανθ' ἁγναὶ Χάριτες Κρόνῳ.

9 τῶν δὲ τετραμέτρων, τὸ μὲν καταληκτικὸν καθαρόν ἐστι [e]τὸ τοιοῦτον, [Sappho n. 62. Bergk.]

[f]κατθνάσκει Κυθέρη' ἁβρὸς Ἄδωνις· τί κε θεῖμεν.
καττύπτεσθε κόραι, καὶ [g]κατερείκεσθε χιτῶνας.

10 τὸ δὲ τὴν δευτέραν ἰαμβικὴν ἔχον καλεῖται Πριάπειον· οἷον, [Anacreon n. 17. Bergk.]

cipio capitis p. 59. Veterem lectionem restituendam esse pronuntiat Bernhardius ad Dionys. Perieg. p. 990. qui provocat ad c. XV. 8. p. 93. ed. 1810.

[b] δισυλλάβου] τετρασυλλάβου P. S. et E. pr. m. Pro σχήματα D. habet τμήματα.

[c] Ἀλκμαϊκὸν] ἀλκαϊκὸν N.P.E. ἀλχαϊκὸν C.

[d] κόλπος ἐδέξαθ' Fl.

[e] τὸ τοιοῦτον] τὸ om. E.

[f] Posui κατθνάσκει pro καταθνάσκει ut poëtæ frequenter, et ut versus hic postulat. Ita breviter scribi solet κθνάσκει. HOTCHKIS. Sic citat Bentleius ad Horat. p. 710. Κυθέρη' habet C. Ceteri καταθνάσκει κυθέρει'.

[g] κατερείκεσθε] Sic optime Pauwius, probantibus Wesselingio et Valckenærio ad Herodotum p. 230. Hic igitur Pauwium immerito castigat D'Orvillius, etsi in plerisque satis culpabilem. Pejor est Bentleii emendatio καταρήγνυσθε, et a librorum lectione, κατερύκεσθε (κατερύσκεσθαι C. κατερύκκεσθε E.) exhibentium, remotior.

4. κόλπῳ σ'] Ἀντισπαστικὸν τρίμετρον [52]ἀκατάληκτον, ὃ καλεῖται [53]Ἀλκαϊκὸν δωδεκασύλλαβον, ποδῶν ἁπλῶν ἕξ, τῆς μέσης μόνης ἀντισπαστικῆς οὔσης, ἑκατέρωθεν δὲ ἰαμβικῆς. [54]τὸ σπονδεῖον ἤρξατο τοῦ κόλπῳ. ἡ μέση δὲ ἀντισπαστικὴ καὶ αὐτὴ ἀδιάφορον ἔχουσα τὸν πρῶτον πόδα· [55]σπονδεῖος γάρ.

7. κατθνάσκει] Τὸ τετράμετρον καταληκτικόν ἐστιν, ἐκ τριῶν ἀντισπάστων καὶ ἰάμβου καὶ συλλαβῆς. ἔστι δὲ ποδῶν ἁπλῶν ἑπτὰ καὶ συλλαβῆς.

8. καττύπτεσθε] Τέταρτος ἐπίτριτος, εἷς ἀντίσπαστος, εἶτα ἀντίσπαστος, καὶ ἴαμβος, καὶ συλλαβή· εἶτα πάλιν [56]ἐστὶ τοῦ οἴνου, τέταρτος ἐπίτριτος, εἷς ἀντίσπαστος, πάλιν ἀντίσπαστος, ἴαμβος καὶ συλλαβή.

9. [Πριάπειον] Πριάπειον δὲ ἐκλήθη, ἐπειδὴ Εὐφορίων ὁ γραμματικὸς ἐπὶ τῶν Πτολεμαίων ἐν Ἀλεξάνδρα (sic) ἔγραψεν εἰς Πρίαπον τοῦτο τὸ μέτρον· καὶ ὥσπερ τὸ ἰθυφαλλικὸν ἐκλήθη ἐπιτήδειον ὂν εἰς τὸν Διόνυσον, οὕτω καὶ τὸ Πριάπειον. Ἰστέον δὲ ὅτι τούτου τοῦ Εὐφορίωνος γέγονεν ἀκροατὴς Ἀρίσταρχος ὁ γραμματικὸς, οὐ μόνον Ἀριστοφάνης τοῦ τοῦ Βυζαντίου. S.]

52 ἀκατάληκτον] καταληκτικὸν E.
53 Ἀλκμαϊκὸν] Ἀλκαϊκὸν E.
54 τὸ σπονδεῖον] ἀπὸ σπονδείου E.
55 σπονδεῖον] σπονδεῖος E.
56 ἐστι] ἐπὶ E.

ἠρίστησα μὲν ἰτρίου λεπτοῦ μικρὸν [h]*ἀποκλάς·*
οἴνου δ' ἐξέπιον [i]*κάδον· νῦν δ' ἁβρῶς ἐρόεσσαν*
ψάλλω πηκτίδα τῇ φίλῃ, κωμάζων [k]*παῖδ' ἁβρῇ.*

11 *πολυσχημάτιστον μὲν οὖν αὐτὸ ποιοῦσιν· ἀλλὰ τόγε καθαρῶς ἐσχηματισμένον ἐστὶ τοιοῦτον. Ἔστι δὲ πυκνὸν καὶ τὸ τὴν δευτέραν μόνην ἀντισπαστικὴν ἔχον· ᾧ μέτρῳ ἔγραψεν ᾄσματα καὶ Σαπφὼ,* [l]*ἐπὶ τοῦ ἑβδόμου,* (Ursin. p. 9. Bergk. 90.)

[m]*γλυκεῖα μᾶτερ, οὔ τοι δύναμαι κρέκην τὸν* [n]*ἱστὸν,*
[o]*πόθῳ δαμεῖσα παιδὸς,* [p]*βραδίναν δι' Ἀφροδίταν.*

12 *Τὸ δὲ ἀκατάληκτον καλεῖται Σαπφικὸν* [q]*ἑξκαιδεκασύλ-*

[h] *ἀποκλὰς*] *ἀπόκλασμ'* citat Santenius ad Terent. Maurum p. 369. *ἀπόκλασμα* dederunt E. et Turn. infra in Schol. ad c. 16.

[i] *κάδον*] Sic N.H.C. cum Athenæo XI. p. 472 F. alii male *κάδδον*. HOTCHKIS.

[k] *ποδὶ ἰ' ἀβρῇ* Fl. H.B. 1. potius *ποδὶν* (sic, voluit forte *ποσὶν*) *ἁβρῶς.* sed *παιδὶ ἁβρῇ* Turn. et MSS. alii, (sic C.P.E.S.) unde fuisse suspicor *παῖδ' ἁβρῇ* vel *κόρῃ ἁβρῇ.* HOTCHKIS. *ποδὶ ἁβρῷ* citant Scaliger ad Catullum p. 16. Vossius ad Catullum p. 344. necnon Santenius ad Terent. Maur. p. 369. *κωμάζων παρὰ παιδὶ* Bœck. De Metris Pindari p. 288. Hoc fragmentum inter Anacreontea retulit Barnesius n. LXXX. ex Athenæo XI. p. 472 F. XIV. 646 C. Polluce X. 70.

[l] *ἐπὶ τῆς τοῦ ἑβδόμου*] Sic Turn. *ἐπὶ τοῦ ἑβδόμου* C. *ἐπὶ τῆς ζ'* P. E.S. *ἐπί τε τοῦ ἑβδόμου* Fl. H.B. Hæ voces omnino desunt D.

ib. *ἐπὶ τῆς* subaudiendum est *ᾠδῆς*. *In Oda libri septimi.* Ut vides, numerus Odæ omittitur: et hunc adscripsit forte Hephæstio, sed male neglexerunt Hephæstionis scribæ: commode profecto legi posset hic, *ἐπὶ τῆς ς τοῦ ἑβδόμου, in sexta Oda libri septimi.* Ita peccatum millies: nihil tamen affirmo. PAUW.

[m] *γλυκεῖα—κρέκειν*] *γλυκῆα—κρέκην* P. *γλυκυα—κρέκην* C. Priorem versum sine auctoris nomine citat Etymologus M. p. 505 ult.

ib. Vide Wolfium in Sapphicis p. 230. Vossium ad Catullum p. 345. Yvonem Villiomarum in Locos controversos R. Titii L. V. p. 101. ed. Commelin. Victor. IX. Var. Lect. XVIII. D'ORVILL.

[n] *ἱστὸν*] *ἱαστὸν* S. Fl.

[o] *πόθῳ*] *πύθω* Fl.

[p] *βραδινὰν* idem quod *ῥαδινάν.* *Per agilem Venerem*, Spanhem. ad Callim. Lav. Pall. 72. v. cap. VII. HOTCHKIS. *βραδίναν* Fl.

[q] *ἑκκαιδεκασύλλαβον*] *ἑξκαιδεκασύλλαβον* C.

9. *γλυκεῖα*] *δύο ἴαμβοι, ἀντίσπαστος, τρεῖς ἴαμβοι, συλλαβὴ, καὶ τὸ ἑξῆς τοιοῦτον.*

λαβον· ᾧ τὸ τρίτον [r]ὅλον Σαπφοῦς γέγραπται· πολλὰ δὲ καὶ Ἀλκαίου ᾄσματα, (Ursin. p. 105. Bergk. 85.)

Νύμφαις ταῖς Διὸς ἐξ αἰγιόχω φασὶ [s]τετυγμέναις.

13 [t]Σιμίας δὲ καὶ τῷ ὑπερκαταλήκτῳ κέχρηται,

τὸν στυγνὸν Μελανίππου φόνον αἱ πατροφόνων ἔριθοι.

ὅπερ [u]καὶ καλεῖται Σιμμιακόν· ὁ δὲ Ἀλκαῖος καὶ πενταμέτρῳ ἀκαταλήκτῳ ἐχρήσατο, (Ursin. p. 105. Bergk. 48.)

Κρονίδα βασιλῆος γένος, Αἶαν, τὸν ἄριστον [v]πέδ' Ἀχιλλέα.

ΚΕΦ. ΙΑ.

ΠΕΡΙ ΤΟΥ ΑΠΟ ΜΕΙΖΟΝΟΣ ΙΩΝΙΚΟΥ.

Τὸ [x]ἀπὸ μείζονος ἰωνικὸν συντίθεται μὲν καὶ καθαρὸν, συντίθεται δὲ καὶ πρὸς τὰς τροχαϊκὰς ἐπίμικτον·

[r] ὅλον Σαπφοῦς] Σαπφᾶς ὅλον Fl.

[s] τετικμέναις Fl. B. τετυσμέναις H. τετιημ E. marg. Supra αἰγιόχου Fl.

[t] Σιμμίας μὲν N.

[u] καὶ ex C.P. additum.

[v] πέδ' Ἀχιλλέα] Ita dudum correxere Casaubon. ad Athen. XV. 15. Portus ad Lyricos p. 182. Bentleius ad Horatium, et fortasse alii. MSS. παῖδ' Ἀχιλλέα. Turn. πόδ' Ἀχιλλέα. Vide sis Valckenærium ad Euripidis Phœn. 1034.

[x] Τὸ δὲ Turn. C.P.E. Mox καὶ om. C.

3. Νύμφαις] Ποδῶν ἁπλῶν ὀκτὼ, τῆς τελευταίας συλλαβῆς ἰαμβικῆς οὔσης· τρεῖς ἀντίσπαστοι, δύο ἴαμβοι, ἀκατάληκτον γάρ.

5. τὸν στυγνὸν] Τοῦτο ἀντισπαστικόν ἐστι τετράμετρον ὑπερκατάληκτον, ὃ καλεῖται Σιμμίειον, ποδῶν ἁπλῶν ὀκτὼ καὶ συλλαβῆς μιᾶς. Ἐπὶ γὰρ τῶν ὑπερκαταλήκτων τίθεται συλβαβὴ μία. Εἰσὶ δὲ ἐν τούτῳ τῷ μέτρῳ τρεῖς ἀντίσπαστοι καὶ μία συλλαβή.

9. Ἀχιλλέα] Ἐξ ὁλοκλήρου, τὸ Ἀχιλλέα, ἵνα γένηται ἀκατάληκτον· ἐν τισὶ δὲ, τὸ τέλος κατὰ συνίζησιν τὸ Ἀχιλλέα ἵνα γένηται καταληκτικόν. Εἰσὶ δὲ ἐν τούτῳ τῷ μέτρῳ τέσσαρες ἀντίσπαστοι, καὶ ἴαμβος, καὶ συλλαβὴ, εἰ καταληκτικόν· εἰ δὲ ἀκατάληκτον, δύο ἴαμβοι.

12. Ζητεῖται διὰ τί μετὰ τὸ ἀντισπαστικὸν εὐθὺς (οὐ) τοῦ ἀπ' ἐλάσσονος ἤρξατο, ἀλλ' ἀπὸ τοῦ μείζονος· καὶ φαμὲν, ὅτι πρῶτον τῆς τετραδικῆς συγγενείας παρέλαβες, τὸ χοριαμβικόν· οὗ συλλαβῆς ἀφαιρουμένης ἰωνικὸν ἀπ' ἐλάσσονος γίνεται, ἐξ οὗ ὁ ἀντίσπαστος, ἐξ οὗ ὁ ἰωνικὸς ἀπὸ μείζονος· ἅπαξ δὲ μέτα τὸ χοριαμβικὸν τὸ ἀντιπαθὲς αὐτοῦ ἀντισπαστικὸν παραλαβὼν, πιθανῶς τοῦ ἀντισπαστικοῦ γενομένου, κατὰ ἀφαίρεσιν ἤρξατο. Ἰστέον δ' ὅτι

ὅτε μέντοι ἀκατάληκτόν ἐστι, καθόλου σπανίως εἰς [y] τὴν ἰωνικὴν περαιοῦται, διὰ τὸ ἀπρεπῆ εἶναι τὴν ἰωνικὴν ἐπὶ

2 τέλους οὖσαν. Ἔστι τοίνυν [z] ἐπίσημα ἐν τῷ ἰωνικῷ, ἐφθημιμερῆ μέν, τὰ τοιαῦτα οἷς ἡ Τελέσιλλα ἐχρήσατο, (Ursin. p. 49. Bergk. n. 1.)

Ἁδ' [a] Ἄρτεμις, ὦ κόραι,
φεύγοισα τὸν Ἀλφεόν.

3 καὶ δίμετρον ἀκατάληκτον, τὸ καλούμενον Κλεομάχειον, ἐν ᾧ καὶ οἱ μολοσσοὶ ἐπὶ τῶν ἀρτίων χωρῶν ἐμπίπτουσι

[y] *τὸν ἰωνικὸν* Fl. H. Interpunxi Arnaldo auctore, qui interpretatur *καθόλου σπανίως, in universum raro.*

[z] *ἐν τῷ ἰωνικῷ ἐπίσημα* Fl.

[a] *Ἄρτεμις*] Vid. Hemsterhus. ad Lucian. Dial. Marin. III. init. p. 294.

ἰωνικὰ εἴωθε δέχεσθαι καὶ τροχαϊκὰς ὅτε ἐστὶ κατὰ συμπάθειαν, ὡς τὰ χοριαμβικὰ καὶ ἀντισπαστικὰ τὰ ἰαμβικά. ἔστι δ' ὅτε καὶ ἐξ ὅλων τροχαϊκῶν σύγκειται, ὡς ἐπὶ τοῦδε, σαρκικὸν γὰρ εἶχε χρῶτα, καὶ τὸ δέρμ' ὅμοιον. *Διαιρεῖται δὲ ἀπὸ τοῦ τροχαϊκοῦ τῷ τε ῥύθμῳ καὶ τῇ φωνῇ· τὸ γὰρ τροχαϊκὸν εἰς πενθημιμερῆ καὶ ἐφθημιμερῆ τέμνεται, τὸ δὲ ἰωνικὸν κατὰ ἁπλῶν ποδῶν. ὅταν δὴ τὸ χοριαμβικὸν λάβῃ τὰς τροχαϊκὰς ἢ τὸ ἰωνικὸν τὰς ἰαμβικὰς καλοῦνται κατ' ἀντιπάθειαν· καὶ ὅταν μὲν τὸ χοριαμβικὸν κατ' ἀρχὴν λάβῃ τὸ τροχαϊκόν, ἐπιχοριαμβικὸν καλεῖται, ὅταν δὲ τὸ ἰωνικὸν κατ' ἀρχὴν δέξηται τὸν ἴαμβον, ἐπιωνικόν ἐστιν· ἐπεὶ ἀντισπαστικὸν (ἐπιαντισπαστικὸν) δ' οὐκ ἔστιν, ἐπεὶ τὸ ἀντισπαστικὸν φύσιν εἶχεν ἐνίοτε καὶ ἀπὸ διτροχαίου ἄρχεσθαι, διὰ τὸ τρέπεσθαι τὴν ἀρχὴν εἰς τὰ δ' σχήματα τῶν δισυλλάβων. Ἐζητεῖτο δὲ διὰ τί τὰ ἰωνικὰ ἐδέξαντο τοὺς διτροχαίους· ἐπιλυόμεθα δὲ οὕτως· τοῖς ἰωνικοῖς ἐνδέουσι μετρικοὶ πόδες· εἰσὶ γὰρ ἐκ σπονδείου καὶ πυρριχίου τὰ ἰωνικά· μετρικοὶ δὲ πόδες εἰσὶ τροχαῖος ἴαμβος δάκτυλος ἀνάπαιστος, οἵτινες τῇ ποικιλίᾳ τῶν χρόνων κοσμούμενοι μέτρα ἴδια ποιοῦσιν· οὗτοι δὲ καλοῦνται μετρικοὶ καὶ ἀριθμικοὶ* (sic) *πόδες· τὰ δὲ ἰωνικὰ μέτρα μὴ ἔχοντα τὴν σύστασιν τούτων ἐδεήθησαν, ἐπεὶ χαῦνα εἰσὶ τὰ ἰωνικά, τὰ δὲ τροχαϊκὰ σύντονα· ὅπως οὖν κρᾶσίς τις γένηται συνῆλθον τοῖς ἰωνικοῖς τὰ τροχαϊκά. ἅπαξ δὲ τῶν διτροχαίων ἐμπεσόντων εἰς τὰ ἰωνικά, τοῖς ἀντιπαθέσι τῶν ἰωνικῶν συνῆλθον αἱ ἰαμβικαὶ διποδίαι, φημὶ δὴ τῷ ἀντισπαστικῷ καὶ χοριαμβικῷ.* S.

4. *ἐφθημιμερῆ μὲν*] Τὸ *ἰωνικὸν ἐφθημιμερὲς τρεῖς ἔχει πόδας καὶ συλλαβήν· καὶ ἐν τούτῳ ἡ πρώτη ἀδιάφορος· ἡ δὲ κατακλεὶς, τροχαϊκή.*

8. Κλεομάχειον] Ὁ Κλεόμαχος *δ' οὗτος πύκτης ἦν, ἐρασθεὶς δέ ποτε νέου μετῆλθεν εἰς ποιητικήν.* S. Et sic fere Tricha p. 34. Strabo XIV. p. 959=928. Κλεόμαχος *ὁ πύκτης, ὃς εἰς ἔρωτα ἐμπεσὼν κιναίδου τινὸς καὶ παιδίσκης ὑπὸ κιναίδῳ τρεφομένης, ἀπεμιμήσατο τὴν ἀγωγὴν τῶν παρὰ κιναίδοις διαλέκτων καὶ τῆς ἠθοποιίας.*

9. *οἱ μολοσσοὶ*] Εἰκότως *δὲ ἐπὶ τῶν ἀρτίων οἱ μολοσσοί.* Τοῦ *γὰρ μολοσσοῦ τιθεμένου κατ' ἀρχάς, καὶ τοῦ ἰωνικοῦ μετ' αὐτόν, εὑρίσκοντο πέντε*

καὶ οἱ χορίαμβοι, [b] *οἷον,*

Τίς τὴν ὑδρίην [c] ὑμῶν
ἐψόφησ'; ἐγὼ πίνων.

4 *καὶ τρίμετρα βραχυκατάληκτα, τὰ καλούμενα Πραξίλλεια· ἃ τὴν μὲν πρώτην ἔχει ἰωνικὴν, τὴν δὲ δευτέραν τροχαϊκήν· οἷά ἐστι τὰ τοιαῦτα Σαπφοῦς·* (Ursin. p. 15. Bergk. n. 53.)

Πλήρης μὲν [d] ἐφαίνεθ' ἁ σελάνα·
αἱ δ' ὡς περὶ βωμὸν ἐστάθησαν.

5 *Τὰ δὲ* [e] *τρίμετρα ἀκατάληκτα διχῶς συνέθεσαν οἱ Αἰολεῖς· τὰ μὲν γὰρ ἐκ δύο ἰωνικῶν καὶ τροχαϊκῆς ἐποίησαν* [f] *βάσεως, οἷον,* [Sappho Bergk. n. 54.]

Κρῆσσαι νύ ποθ' [g] ὧδ' ἐμμελέως πόδεσσιν
[h] ὠρχεῦνθ' ἁπαλοῖς ἀμφ' ἐρόεντα βωμόν.

6 *ἔνια* [i] *δὲ καὶ ἐκ μιᾶς ἰωνικῆς καὶ δύο τροχαϊκῶν· οἷον,* [Sappho Bergk. n. 88.]

[k] Τριβώλετερ· οὐ γὰρ Ἀρκάδεσσι λώβα.

[b] οἷον om. Turn.
[c] ὑμῶν] ἡμῶν P.E.S. Fl. Tum ἐψόφοισ' Fl.
[d] ἐφαίνεθ'] ἐφαίνετ' E.S.
[e] δίμετρα Fl.
[f] βάσεως om. C.P. suprasc. habet E.
[g] ὧδ'] οὐδ' P.
[h] Vide Spanhemium ad Callim. H. Del. 306. ἀρχεῦντ' ἁπαλοῖς Fl. ὠρχεῦντ' H.S. ἀρχεῦθ' C.
[i] δὲ καὶ] καὶ om. E.S.
[k] τριβώλετες Fl. H.B. et sic citat Herman. E.D.M. p. 452. τριβώλετερ C.P.S. Chœroboscus in Theodos. p. 431, 29. τριβολέτηρ ὦ τριβόλετερ (ἔστι δὲ εἶδος ἀκάνθης) Qui, ut videtur, ad hoc fragmentum respicit.

μακραὶ ἐφεξῆς, καὶ 57 ἀρρυθμία πολλὴ ἐγένετο· τοῦ δὲ μέτρου, ὃ ἐπιφέρει, ὁ πρῶτος, ἰωνικὸς, καὶ μολοσσὸς, εἶτα διτρόχαιος, καὶ πάλιν μολοσσός· τὸ γὰρ ην ημων καὶ τὸ γω πινων, μολοττοὶ ἀντὶ ὁλοκλήρων ἰωνικῶν εἰσίν. Ἡ γὰρ τελευταία μακρὰ διαιρουμένη εἰς δύο βραχείας ποιεῖ τὸν ἰωνικὸν ἀπὸ μείζονος· ἐπεὶ καὶ τῶν ἐπὶ τέλους δύο βραχειῶν συναιρεθεισῶν ὁ μολοττὸς γίνεται. Ἔστιν οὖν τὸ μέτρον δίμετρον ἀκατάληκτον, τὸ καλούμενον Κλεομάχειον· τὸ δὲ εψοφησε διτρόχαιος· εἶπε γὰρ ἐπιμίγνυσθαι πρὸς τὰς 58 τροχαϊκὰς αὐτό. Τὸ πλῆρες, ἐψόφησεν· εἶτα ἀμοιβαῖον, ἐγὼ πίνων, κατὰ πεῦσιν καὶ ἀπόκρισιν.

8. Πλήρης] *Ἰωνικὸν τρίμετρον βραχυκατάληκτον, ὃ καλεῖται Πραξίλλειον· βραχυκατάληκτον δὲ, διότι δύο συλλαβαῖς ἐνδεῖ πρὸς τὸν τέλειον τρίμετρον ἰωνικόν.*

57 ἀρρυθμία] ἀριθμία E. 58 τροχαϊκας. τὸ αὐτὸ] τροχαϊκὰς αὐτό. τὸ E.

6 Τῶν δὲ τετραμέτρων ἐπισημότατόν ἐστι [l]τὸ βραχυκατάληκτον, τὸ καλούμενον [m]Σωτάδειον· τοῦτο δὲ [n]κατὰ τρεῖς χώρας δέχεται ἰωνικὴν συζυγίαν, ἢ τροχαϊκὴν, ἢ τὴν ἐξ ἀναπαίστου καὶ πυρριχίου, ἢ τὴν ἐκ τριβράχεος καὶ [o]τροχαίου, ἢ τὴν ἐκ μακρᾶς καὶ τεσσάρων βραχειῶν, ἢ τὴν [p]ἐκ βραχειῶν ἓξ, οἷον,

Ἥρην ποτὲ φασὶν Δία τὸν τερπικέραυνον.

7 [q]καὶ [r]τετράμετρα δὲ ἀκατάληκτα διαφόρως συνέθεσαν· καὶ γὰρ τρισὶν ἰωνικαῖς μίαν τροχαϊκὴν τὴν τελευταίαν ἐπήγαγον· καλεῖται δ' Αἰολικὸν, ὅτι Σαπφὼ πολλῷ αὐτῷ ἐχρήσατο· οἷον, (Ursin. p. 13. Bergk. n. 76.)

εὐμορφοτέρα [s]Μνασιδίκα τᾶς ἀπαλᾶς Γυρίννως.
ἀσαροτέρας οὐδαμὰ πω "ρανα σέθεν τυχοῖσα.

[l] τὸ deest C.P.

[m] Σωτάδειον] v. Spalding. ad Quintilian. I. 8. 6. IX. 4. 6. 90.

[n] κατὰ τρεῖς] κατὰ τὰς τρεῖς C.P. E.S. Turn.

[o] τροχαίου] τροχαικοῦ P.E.S.

[p] ἐκ βραχειῶν ἓξ] ἐξ ἓξ βραχειῶν P.E.S.

[q] καὶ om. P.

[r] τετράμετρον δὲ ἀκατάληκτον δ. συνετέθησαν Fl. B.H. συντέθησαν D. Deinde ἢ γὰρ C.P.

[s] Μνασιδίκα abest a Fl. et multis codicibus. Γυρίννω H. Longini Prol. s. 4. Etymolog. M. p. 243, 51. Γυριννὼ, ὄνομα κύριον

4. ἀναπαίστου] Διότι λυομένων τῶν ἄκρων τοῦ ἰωνικοῦ, γίνεται [59]ἀνάπαιστος, ἐκ δύο βραχειῶν καὶ μακρᾶς, καὶ πυρρίχιος ἐκ δύο βραχειῶν· τοῦ δὲ τροχαίου λελυμένου γίνεται ὁ τρίβραχυς. Συγγενὴς οὖν ὁ τροχαῖος τῷ ἰωνικῷ. Τῶν γὰρ δύο μακρῶν τῶν ἄκρων λυθεισῶν εἰς τέσσαρας βραχείας, καὶ τῶν δύο βραχειῶν μενουσῶν, ἓξ γίνονται αἱ πᾶσαι· αἱ δὲ ἓξ βραχεῖαι, ἄδηλον, εἴτε τοῦ ἰωνικοῦ λυθέντος, εἴτε τοῦ [60]τροχαίου γεγόνασιν.

7. Ἥρην] Ἰωνικὸν τετράμετρον βραχυκατάληκτον, ὃ καλεῖται Σωτάδειον, ἐκ τριῶν ἰωνικῶν καὶ ἑνὸς τροχαίου· ἐνδεῖ δὲ δύο συλλαβαῖς εἰς τὸ ἰωνικὸν εἶναι ἀκατάληκτον.

13. ἀσαροτέρας] Τὸ ασαροτε δεύτερος παίων. Συστέλλουσι γὰρ οἱ Αἰολεῖς τὸ α, ὡς ἐν τῷ,

[61]μή μ' ἄσαισι, μηδ' ἀνίαισι.

Ib. ὃ δὲ θέλει τοιοῦτόν ἐστι· βλαβερωτέρας· ἀντὶ τοῦ αὐτὴ οὐδαμῶς μοῦ

59 ἀνάπαιστος] ὁ ἀνάπαιστος ἢ ὁ πυρρίχιος· ἐὰν γὰρ λύσω τὴν πρώτην μακρὰν τοῦ ἰωνικοῦ γίνεται ἀνάπαιστος E.

60 τροχαίου] τροχαϊκοῦ E.

61 Ultima corruptissime edidit Turnebus cum E. Μή με ἄσαις, ἀμηδοκίαισιν. Sapphus verba quædam ex eadem oda haud minus corrupte leguntur apud Etymologum M. p. 485, 21. Καλήζω, κατὰ διάλεκτον. Οἱ Αἰολεῖς τὰ τῆς πρώτης συζυγίας διὰ τοῦ η προφέρουσιν, ἀδικήω. Ὠψά τ' ἀδικήη. Sic Edd. Aliquanto melius codex D'Orvillianus, ὄψαφ' ἀδικήη. Proculdubio

8 Παρατηρεῖν δὲ χρὴ, ὅτι τὴν πρώτην συζυγίαν καὶ ἀπὸ βραχείας ἀρχομένην ποιοῦσιν, ὥσπερ καὶ ἐν τοῖς τριμέτροις,

πόας τέρεν ἄνθος μαλακὸν [t] μάτεισαι.

9 Ἐνίοτε δὲ ἐναλλὰξ τὰς ἰωνικὰς ταῖς τροχαϊκαῖς παραλαμβάνουσιν, ἀντὶ μὲν τῶν ἰωνικῶν ἔσθ' ὅτε τὰς δευτέρας παιωνικὰς παραλαμβάνοντες, ἀντὶ δὲ τῶν ἑξασήμων

Λεσβίας κόρης· εἴρηται παρωνύμως παρὰ τὸ γυρίνος, ὃ δηλοῖ τὸν βάτραχον, ὡς ἔρατος, Ἐρατώ· καὶ κλέος, κλεὼ καὶ Κλειώ. Γυρήνω Turn. γυρίνω Fl. γηρίνως C. ἀργυρίννω N. γυρίννως P. γηρύννω E· γυρίννω S. Γυριννῶς correxit Toupius. Sequentem versum cum Arnaldo corruptum puto. ἀσαροτέρα σοῦ δ' ἄμ' ἐπώραναν σέθεν τυχοῦσα Fl. B. H. nisi quod in hoc τυχοῖσα legitur. ἀσαροτέρα σοῦ δ' ἄμ' ἐπ' ὤρανε σέθεν τυχοῖσα N. ἀσαρωτέρα σουδαμὰ πωρανα σέθεν τυχοῖσαν C. ἀσαροτέρασ ουδαμ' ἀπ' ὤρανα σέθεν τυχοῖσαν P. ἀσσαροτέρας οὐδ' ἄμα πῶρανα σέθεν τυχοῖσαν E. ἀσαροτέρασ ουδάμἄπωρανα σέθεν τυχοῖσα S. Γυριννῶς Ἀσαροτέρας, οὐδάμ' ἔπ', ὦ Ἔραννα, σέθεν τυχοῖσα. Hermannus, Epit. D. M. s. 414.

[t] μάτοισαι sic D. H. μάτοισαν Fl. B. E. marg. μάτεισαι Turn. C.P.E.S. Scaliger ad Varron. p. 30. citat ματεῦσαι, ubi versum Ennii sic emendatum, *Ibant malacam viere Veneriam corollam*, ex Sapphone translatum existimat. Verba μαλακὸν μάτοισαι Santenius ad Terent. Maur. v. 1500. interpretatur *molliter calcantes*, qui h. v. cum fragmento, quod paulo ante legitur, κρῆσσαι νύ ποθ' etc. conjungendum esse suspicatur. Eum secutus est Bergkius n. 54. qui dedit cum plerisque libris μάτεισαι. Vid. Ahrens de Dial. Æol. 6, 6. p. 45.

ποτὲ εἰρήνης σέθεν ἐπιτυχοῦσα. Ὁ πρῶτος πούς ἐστι παίων δεύτερος, ασαροτε· συστέλλουσι γὰρ οἱ Αἰολεῖς τὸ α τοῦ ἄσαισιν ὡς ἐν τῷ μή με ἄσαισι μὴ δ' ἠνίασιν (sic). ὥσπερ δὲ ἀφροδίτη ἀφρόδιτα φασὶ συστέλλοντες τὸ α, οὕτω καὶ τὸ εἰρήνη εἴρηνα. S.

4. πόας] Ἰωνικῷ γὰρ ὄντι ἡ πρώτη βραχεῖα ἀπελείφθη, ἡ πο. Ἔχει δὲ ἰωνικὴν διποδίαν, εἶτα τροχαϊκήν.

5. παραλαμβάνουσι] Τουτέστι τὴν πρώτην μακρὰν τοῦ ἰωνικοῦ βραχύνοντες, τὴν τοῦ τελευταίου ποδὸς βραχεῖαν μηκύνοντες, ὅ ἐστι, σπονδεῖον τὸν δεύτερον ἁπλοῦν πόδα ποιήσαντες, ὡκ ἔθος τῷ τροχαίῳ.

7. παραλαμβάνοντες] Ὅπου μὲν ἐξ ἰαμβικοῦ ἀπὸ βραχείας ἀρχομένου, ὅπερ ἐστὶ παιωνικοῦ δευτέρου, καὶ τροχαϊκοῦ ἑπτασήμου, ἤτοι ἐπιτρίτου β', ὡς τὸ πρῶτον.

Δέδυκε μὲν ἁ σελάνα.

ὅπου ὡς προείρηται, ἐξ ἰωνικῶν καθαρῶν καὶ τροχαϊκῶν. Τὸ οὖν ἁ σελάνα

innuitur Lesbiæ poëtriæ versiculus ex celeberrima oda quam nobis conservavit Dionysius Halicarn. περὶ Συνθεσ. Ὀνομ. Sect. 23. Τίς σ' ὦ Σαπφοῖ, ἀδικῆ; Proxime ad MS. D'Orv. lectionem accedit Aldus Rhet. p. 537. τις σω ψαπφαδίκη. Legendum videtur τίς σ', ὦ Ψάπφ', ἀδικήη.

τροχαϊκῶν ἔσθ' ὅτε τὰς ἑπτασήμους τροχαϊκὰς, οἷον, (Ursin. p. 10. Bergk. n. 52.)

δέδυκε μὲν ἁ σελάνα
καὶ πληΐαδες· μέσαι δὲ
νύκτες, παρὰ δ' ἔρχεθ' ὥρα·
ἐγὼ δὲ μόνα καθεύδω.

ΚΕΦ. ΙΒ.

ΠΕΡΙ ΤΟΥ ΑΠ' ΕΛΑΣΣΟΝΟΣ ΙΩΝΙΚΟΥ.

Τὸ [u]ἀπ' ἐλάσσονος ἰωνικὸν συντίθεται μὲν καὶ καθαρὸν, συντίθεται δὲ καὶ ἐπίμικτον πρὸς τὰς τροχαϊκὰς [v]διποδίας οὕτως, ὥστε τὴν πρὸ τῆς τροχαϊκῆς ἀεὶ γίνεσθαι πεντάσημον, τοῦτ' ἔστι τρίτην παιωνικὴν, καὶ τὴν τροχαϊκὴν, ὁπόταν προτάττοιτο τῆς ἰωνικῆς, γίνεσθαι ἑπτάσημον τροχαϊκὴν, τὸν καλούμενον δεύτερον ἐπίτριτον.
2 Ἔσθ' ὅτε δὲ ἡ μὲν τρίτη παιωνικὴ συναιρεῖται εἰς παλιμβάκχειον, τῆς δὲ ἐπιφερομένης τροχαϊκῆς ὁ πρότερος λύεται εἰς τρίβραχυν. Ἐμπίπτουσι δὲ [x]καὶ οἱ μολοττοὶ ἐπὶ τῶν περιττῶν χωρῶν ἐν τοῖς ἀπ' ἐλάσσονος ἰωνικοῖς, ὥσπερ [y]ἐν τοῖς ἀπὸ μείζονος ἐπὶ τῶν ἀρτίων.

3 Καὶ ὅλα μὲν οὖν ᾄσματα γέγραπται ἰωνικὰ, ὡς [z]παρ' Ἀλκμᾶνι, (Ursin. p. 67. Bergk. n. 81.)

Ἕκατον μὲν Διὸς υἱόν.
τάδε Μῶσαι κροκόπεπλοι.

[u] Τὸ δὲ Turn. E.
[v] συζυγίας N.
[x] καὶ om. C.
[y] ἐπὶ τοῖς Fl. H.B.
[z] ὡς παρ' Ἀλκμᾶνι C. ὥσπερ Ἀλκμᾶνι P.E.S. Fl. et alii.

ἑπτάσημός ἐστι τροχαϊκή. Τροχαῖος γάρ ἐστι καὶ σπονδεῖος, μακρὸν γάρ ἐστι καὶ τὸ τελευταῖον α. Ἔστιν οὖν τὸ ἁ σελάνα ἐπίτριτος δεύτερος, τῆς α τελευταίας ἀντὶ μακρᾶς παραλαμβανομένης.

13. ἡ μὲν τρίτη παιωνικὴ] Τουτέστι [62]τρίτος παίων. Γίνεται δὲ παλιμβάκχειος, τῶν πρώτων δύο βραχειῶν εἰς μακρὰν συναγομένων· ὥστε γίνεσθαι ἐκ δύο μακρῶν καὶ βραχείας· τοῦ δὲ ἰωνικοῦ τῶν πρώτων δύο βραχειῶν εἰς μακρὰν συναγομένων γίνεται ὁ μολοττός.

62 τρίτος παίων] τρίτον παίωνα E.

[a]*καὶ παρὰ Σαπφοῖ,* (Ursin. p. 13. Bergk. n. 87.)

τί με Πανδιονὶς [b]*ὠράνα χελιδών.*

Ἀλκαίῳ δὲ πολλὰ, ὥσπερ καὶ τόδε, (Ursin. p. 104. Bergk. n. 59.)

Ἔμε δειλὰν, ἔμε πασᾶν [c]*κακοτάτων πεδέχοισαν.*

4 *Τῶν δὲ ἐν τῷ μέτρῳ μεγεθῶν τὸ μὲν ἐπισημότατόν ἐστι τὸ τετράμετρον καταληκτικὸν, οἷόν ἐστι* [d]*τὸ Φρυνίχου τοῦ τραγικοῦ* [e]*τόδε,*

Τό γε μὴν ξείνια [f]*δούσαις, λόγος ὥσπερ λέγεται,*
ὀλέσαι, [g]*κἀποτεμεῖν ὀξέϊ χαλκῷ κεφαλάν.*

καὶ παρὰ Φρυνίχῳ τῷ κωμικῷ· [Fr. inc. 14. Meinek.]

[h]*Ἁ δ' ἀνάγκα 'σθ' ἱερεῦσιν καθαρεύειν φράσομεν.*

4 *Τοῦτο μέντοι καὶ* ΓΑΛΛΙΑΜΒΙΚῸΝ, *καὶ* ΜΗΤΡΩΙΑΚῸΝ, [i]*καὶ*

[a] *καὶ παρὰ Σαπφοῖ* D. *Σαπφοῖ δὲ* P.E.S. Fl. et alii.

[b] *ὠράνα*] *ὠραίνα* E. i. e. *ὠραία* ex em. Pauwius probat *ὠραῖα* e calce Turnebi. Arnaldus et D'-Orvillius *ὦ 'ραννὰ,* quomodo et Vossius apud Koënium ad Gregor. de Dialectis p. 279. Sed *ὠράνα* retinet Bentleius ad Horatium Carm. III. 12. Hesychius: *Ὠράνα· χελιδόνων ὀροφὴ,* ubi Vossius, " apud Sappho ponitur *ὠρά-* " *να* pro *ὦ ἐραννά.* Vide tamen " num *ὠράνα* sit *verna* ab *ὥρα* " *ver:* unde eadem *ἠρινὰ* Aristo- " phani." Locus Aristophanis est Pac. 800. *ὅταν ἠρινὰ μὲν Φωνῇ χελιδὼν Ἑζομένη κελαδῇ.* ubi Scholiastes: *καὶ αὕτη πλοκὴ Στησιχόρειος· φησὶ γὰρ οὕτως· ὅταν ἦρος ὥρᾳ κελαδῇ χελιδών.* Hesychii glossam emendare conatus est Toupius Em. T. III. p. 528. IV. p. 116. Perpendi merentur quæ de ea notavit Santenius ad Terent. Maur. p. 336. *χελιδὸν* in fine correxit Vossius. Debebat saltem *χελιδοῖ.*

[c] *κακοτάταν* S. *κακοτάτων πεδ' ἔχοισαν* C. *κ. πόδ' ἔ.* Turn. *κακότητα παῖδ' ἔ.* Fl. B.H. *κ. παῖε δ' ἔχοισαν* P. Versum post Casaubonum emendavere Stanleius ad Æschyl. Choëph. 587. et Bentleius ad Horatii Carm. III. 12.

[d] *τὸ τοῦ*] *τοῦ* om. P.E. Fl.

[e] *τουτὶ*] *τόδε* P.

[f] *δούσαις λόγος, ὥσπερ λέγεται*] *δούσας, λόγος ὥσπερ λέγεται* Hermannus.

[g] *κἀποτεμεῖν* emendatio est D'Orvillii *καὶ ποτέ μιν* edd. et credo MSS. Sic certe P.E.S.

[h] Sic Tyrwhittus et fere J. C. Scaliger Poët. II. 21. *ἁ δ' ἀναγκαῖ'* Pauwius. *ἅδ' ἀνάγκας θ'* edd.

[i] Nescio an deleri debeant *καὶ ἀνακλώμενον.* Marius Victori-

9. *Τό γε μὴν*] *Ἐκ τεσσάρων ἰωνικῶν· ἐνδεῖ δὲ συλλαβῇ, διὰ τὸ καταληκτικόν. Τοιοῦτον καὶ τὸ μετ' αὐτὸ, καὶ τὸ ἕτερον· τὸ δὲ* [63]*Ἁ Δ'* [ΑΝΑΓΚΑ] *οὐδέτερόν ἐστιν ἄρθρον, ἐν συστολῇ τὸ α ἔχον, ἀντὶ τοῦ ἅ τινα.*

[63] Α Δ' ΑΝΑΓΚΑ] *ἄνδρες* E.

ἈΝΑΚΛΏΜΕΝΟΝ καλεῖται· ὕστερον δὲ ἀνακλώμενον ἐκλήθη· διὰ τὸ πολλὰ τοὺς νεωτέρους εἰς τὴν μητέρα τῶν θεῶν γράψαι [k]τούτῳ τῷ μέτρῳ· ἐν οἷς καὶ τὰ τοὺς τρίτους παίωνας ἔχοντα [l]καὶ τὸν παλιμβάκχειον καὶ τὰς τροχαϊκὰς ἀδιαφόρως παραλαμβάνουσι πρὸς τὰ καθαρὰ, ὡς καὶ τὰ πολυθρύλλητα ταῦτα παραδείγματα [m]δηλοῖ,

[n]Γαλλαὶ μητρὸς ὀρείης φιλόθυρσοι δρομάδες,
αἷς ἔντεα παταγεῖται καὶ χάλκεα κρόταλα.

nus p. 2602: *Quod quidam* Metroiacum, *eo quod deum matris cantibus aptum sit, meritoque etiam* Galliambum *a Gallis ministris deæ appellarunt.* Mox τούτῳ τῷ μέτρῳ desunt Fl. et MSS. quibusdam. Tricha p. 38. καὶ ταῦτα μέντοι, ὅτε εἰσὶν ἐπίμικτα, ἀνακλώμενα ὀνομάζονται καὶ γαλλιαμβικὰ καὶ μητρωακά. Καὶ γαλλιαμβικὰ μὲν διὰ τὸ πολλοὺς, οἵτινες ἱερεῖς ἦσαν τῆς Δήμητρος, τῷ τοιούτῳ μέτρῳ πρὸς ὕμνον τῆς τῶν θεῶν μητρὸς χρῆσθαι· διὰ ταῦτα γὰρ καὶ μητρωακά· ἢ παρ' ὅσον ἀνείμενον καὶ ἔκλυτον τὸ ἐπίμικτόν ἐστιν Ἰωνικόν. καὶ οἱ Γαλλοὶ δὲ, οἵ εἰσιν ἔθνος τι, τοιοῦτοι μαλακοὶ, καὶ θήλειαν νόσον ἔχειν διαβαλλόμενοι. ἀνακλώμενοι δὲ διὰ τὴν αἰτίαν, ἣν ἔφαμεν ἀνωτέρω, παρ' ὅσον ὁ ἐν τοῖς τοιούτοις ῥυθμὸς ἀνακλᾶται πρὸς τὸ χαῦνον καὶ μαλακόν.

[k] τούτῳ τῷ μέτρῳ om. Fl. Arnaldus putat hunc locum sic esse constituendum e Schol. Aristoph. Ran. 326. Ἐν οἷς καὶ τὰ τοὺς ΔΕΥΤΕΡΟΥΣ ΕΠΙΤΡΙΤΟΥΣ καὶ τρίτους παίωνας ἔχοντα.

[l] καὶ τὸν] τὸν om. P.E.S. Pro καθαρὰ, καθὰ Fl. μακρὰ C.

[m] δηλοῖ] Sic C. in marg. quomodo emendavit Pauwius. δῆλον C. in textu, et P. Ceteri δῆλα.

[n] Γαλλαὶ] Alexandrino poetæ

1. ἈΝΑΚΛΩΜΕΝΟΝ] Τὰ εἰρημένα ἀνακλώμενα οὐκ εἰσίν. Οὔτε γὰρ ἡ ἐσχάτη τοῦ ἰωνικοῦ μακρὰ οὖσα γέγονε βραχεῖα, οὔτε [64]δὲ τροχαϊκὴν ἔχουσιν, ἀλλὰ καθαρά εἰσιν. Ἴσως δὲ περὶ τῶν ἑξῆς ὁ λόγος. [65]Γαλλιαμβικὸν δὲ ἐκλήθη, ἐπεὶ λελυμένον ἐστὶ τὸ μέτρον· οἱ δὲ Γάλλοι διαβάλλονται ὡς [66]θήλειαν νόσον ἔχοντες· διὸ καὶ σώματα [67]φόρον ἐτέλουν Ῥωμαίοις εἰς τοῦτο· οἱ τοιοῦτοι δὲ ἱερεῖς εἰσὶ Δήμητρος. [Ἰστέον ὅτι τοῦτο τὸ ἀπ' ἐλάσσονος Ἰωνικὸν λέγεται ἀνακλώμενον καὶ μητρωακὸν καὶ γαλλιαμβικὸν ἀπὸ τοῦ τοὺς Γάλλους, ὅ ἐστι τοὺς κιναίδους, ἰαμβίζειν, καὶ ὑμνεῖν τὴν Ῥέαν κατὰ τὴν ἀγράν. διὰ τοῦτο γὰρ καὶ μητρῷον. Ἴσως δὲ διὰ τοῦτο καὶ ἀνακλώμενον διὰ τὴν κλάσιν τῆς φωνῆς αὐτῶν καὶ ἁπαλότητα, ὃ καὶ Καλλίμαχος κέχρηται. Ἔστι δ' ἀταξία πολλὴ ἐν τῇ χρήσει ὧν περιφέρει χρήσεων καὶ μάλιστα ἐν τοῖς πρώτοις ποσί. S.]

8. Γαλλαὶ] ὁ πρῶτος μολοττός ἐστιν. Εἶπε γὰρ, ὅτι δέχεται μολοττὸν ἐν

64 δὲ] δὴ E.

65 Γαλλιαμβικὸν] Γαλλιακὸν E.

66 θήλειαν νόσον] Vide Wesselingium et Larcherum ad Herodot. I. 105. et VV. DD. notas ad Longinum c. xxviii. Adde *Jortin's Remarks on Eccles. Hist.* T. II. p. 261. ed. 1805.

67 Lampridium in Alexandro Severo c. 24. citat D'Orvillius. Mox pro Δήμητρος Scaliger ad Eusebium p. 122. corrigit Ἰδαίας μητρός.

6 Καὶ τῷ βραχυκαταλήκτῳ δὲ Ἀνακρέων ὅλα ᾄσματα [o]συνέθηκε· (Fr. 48. Bergk.)

[p]μεγάλῳ δ' ἠῦτε μ' ἔρως ἔκοψεν ὥστε χαλκεὺς
πελέκει, χειμερίῃ δ' ἔλουσεν ἐν χαράδρῃ.

7 Τῶν δὲ τριμέτρων, τὸ μὲν ἀκατάληκτον, (Ursin. p. 16. Bergk. n. 86.)

[q]ζαελεξάμαν ὄναρ [r]Κυπρογενήᾳ

παρὰ τῇ Σαπφοῖ· παρὰ δὲ [s]τῷ Ἀνακρέοντι ἑτέρως ἐσχημάτισται, (Fr. 51.)

ἀπό μοι θανεῖν γένοιτ'· οὐ γὰρ ἂν ἄλλη
λύσις ἐκ πόνων γένοιτ' [t]οὐδαμὰ τῶνδε.

alicui tribuit Bergk. p. 1069. n. 124.

[o] συντέθεικε Fl. N.H.B.

[p] μεγάλῳ] μεγάλων C. μεγάλου P.

[q] ζαελεξάμαν] Sic C.P. probante Bentleio. προσελεξάμην Fl. προσελεξάμαν E.S. προσεδεξάμαν H. a p. m. προσελαβάμαν N. ζαελεξάμαν est pro διελεξάμην, more Æolico. Etymologus M. p. 407, 7. Οἱ γὰρ Αἰολεῖς τὸ διὰ, ζα φασί· καὶ τὸν διάπλουτον, ζάπλουτον. Iidem, teste eodem in sequentibus, pro διαφλεγὴς dicebant ζαφλεγὴς, pro καρδία, κάρζα, pro διαμενὴς, ζαμενὴς, pro διάκορος, ζάκορος. Vide interpretes Hesychii in v. ζαβάλλειν, et præcipue ibi citatum G. J. Vossium in Etymolog. v. *Zeta*.

[r] Κυπρογενήᾳ] Sic Bentleius. κυπρογενείᾳ Turn. et MSS. plerique. κυπρογέννᾳ C.P.

[s] τῷ Ἀνακρέοντι] τῷ om. P.S. Fl.

[t] οὐδαμὰ] Vide Toupium ad Suid. T. II. p. 113.

ταῖς περιτταῖς. Αἱ δὲ ἑξῆς ἰωνικαί· δηλονότι ἐπιμιγνύουσι τὰ προειρημένα τοῖς καθαροῖς· ἰδοὺ γὰρ τῶν ἄλλων καθαρῶν ὄντων τὸ μὲν πρῶτον ἔχει τὸν πρῶτον μολοττόν· περιττὴ γὰρ ἡ χώρα· τὰς δὲ ἑξῆς ἰωνικὰς καθαράς· τὸ δὲ δεύτερον, ὁμοίως τῷ πρώτῳ, μολοττὸν, κατὰ συνίζησιν τῶν δύο βραχειῶν, τῶν μετὰ τὰς δύο μακρὰς εἰς μίαν λαμβανομένων· αἷς ἔντεα, αἷς ἔντη· ὁμοίως καὶ ἐν τῷ χάλκεα, χάλκη. Ἀνακλώμενον δὲ καλεῖται τὸ μέτρον, διὰ τὴν ποιὰν τοῦ μέτρου συμπάθειαν· ἡ γὰρ τελευταία τῶν προτέρων ποδῶν ἀνακλᾶται τῇ ἀρχῇ τῶν δευτέρων, διὰ τὸ ἐν ὀρχήσει ἀνακλασμὸν μελῶν γίνεσθαι.

3. μεγάλῳ] Ταῦτα [68]μὲν ἐξ ἐπιμιξίας εἰσὶν ἀνακλώμενα βραχυκατάληκτα. Ἔχουσι γὰρ τὴν ἐσχάτην τοῦ ἰωνικοῦ βραχεῖαν ἀντὶ μακρᾶς. Εἴρηται δὲ κατ' ἀρχὴν, ὅτι ὅταν ἐπιμίσγηται τῇ τροχαϊκῇ πάντως ἡ πρὸ αὐτῆς ἔσται πεντάσημος, ὅ ἐστι παιωνικὴ, ὡς ἡ κοψεν ὥστε τροχαϊκὴ συζυγία οὖσα, ἔχει τὴν πρὸ αὐτῆς τὴν τε μ' ερως ε παιωνικήν· τὸ δὲ ἑξῆς τὸ προσελεξάμαν δύναται καὶ ἀνακλώμενον εἶναι, δύναται καὶ ἐπίμικτον πρὸς τὰς τροχαϊκὰς, τῆς παιωνικῆς προκειμένης, ὁμοίως τοῖς προλεχθεῖσιν. Ἔστι γὰρ ἡ μὲν πρώτη συζυγία, προσελεξα, παίων τρίτος· ἡ δὲ δευτέρα, μαν ὄναρ κυ μακρᾶς γενο-

68 μὲν om. E.

τὸ δὲ καταληκτικὸν, (Fr. 56.)

[u]Διονύσου [x]σαῦλαι [y]βασσαρίδες.

[u] Διονύσου σαῦλαι] Διονύσσου σαῦλε E.

[x] Vocem σαῦλαι trisyllabum faciunt σάϋλαι Micyllus p. 98. et Pauwius, improbantibus Arnaldo et D'Orvillio. Attamen sic tanquam de suo Bergkius.

[y] Βασσαρίδες erant Bacchæ. Etymologus M. p. 191, 2. Βασσαρίδες, αἱ Βάκχαι, παρὰ τὸ διάγειν ἐν βήσσαις, ὅ ἐστιν ὀρεινοῖς τόποις· ἢ παρὰ τὸ βασσάρη τὸ λεγόμενον ὑπόδημα [MS. Reg. Paris. π. τ. ὑ. τὸ λεγόμενον βασσάρις]· ὅπερ εἴρηται παρὰ τὸ τῇ βάσει ἀρηρέναι. λέγονται βασσάραι αἱ Θρᾴκιαι Βάκχαι. χιτῶνας οὖν ἐφόρουν ἀπὸ τοῦ βάκχου Διονύσου· ἀπὸ τῶν βησσῶν. Hæc sincera esse nemo affirmaverit, neque ea satis feliciter expedivit Sylburgius. Hesychius: Βασσάραι, χιτῶνες οὓς ἐφόρουν αἱ Θρᾴκιαι Βάκχαι. Scholiastes Persii Sat. I. 101. *Bassarides, Bacchæ, quibusdam videtur a genere vestis, qua Liber pater utitur, demissa ad talos, quam Thraces* Bassarin. *Quidam a vulpibus, quarum pellibus Bacchæ succingebantur. Vulpes Thraces* Bassares *dicunt.* Hinc fortasse Etymologus paullo verisimilius corrigi potest: Λέγονται βασσάραι χιτῶνες οὓς ἐφόρουν αἱ Θρᾴκιαι βάκχαι, ἀπὸ τοῦ Βασσάρου (βασσαρέως Lex. Seg. p. 222.) Διονύσου, ἢ ἀπὸ τῶν βησσῶν. Huic emendationi favet aliquatenus MS. D'Orvillianus, qui postrema sic exhibet ἀπὸ τοῦ β^α^ διο^ν^. ἢ ἀπὸ τῶν βησσῶν. Ita et alius MS. quem obiter inspexi in Bibl. Reg. Paris. a p. m. qui ex emend. præbet ἀπὸ τοῦ βασιλέως Διον. Voces βασσάρου Διονύσου reperiuntur conjunctæ apud Clementis Alexand. Cohort. p. 19, 12. ὄργιον Διονύσου βασσάρου. Sed neque locutio βάκχου Διονύσου, licet ab h. l. aliena, temere damnanda est. Eustathius, Od. ζ'. p. 1551, 55=247, 29. βακχείῳ—ἔχοντι τὴν κλῆσιν, ἀπὸ τοῦ βάκχου Διονύσου. Hesychius v. Βάκχου Διώνης. οἱ μὲν βακχευτηρίας Σεμέλης· οἱ δὲ Βάκχου τοῦ Διονύσου, καὶ Ἀφροδίτης τῆς Διώνης. Athenæus p. 78 C. et ex eo Eustathius Od. ω'. p. 1964, 16 =839, 8. Βακχέως Διονύσου. vide et Wesseling. ad Diodor. Sic. IV. 5. Paullo aliter Sophocl. Œd. Col. 678. βακχειώτας Διόνυσος. Eudocia in Anecdotis Græcis Villoisoni, T. I. p. 87. Βασσάραι αἱ τοῦ Βάκχου τροφοί· διὰ τὸ βάσιν ἐπ' ἀρᾷ ποιεῖσθαι τὸ μανιῶδες. Eustathius ad Il. ξ'. p. 989=982. qui ex eodem fonte, ex quo Eudocia, hausit, habet διὰ τὸ μανιῶδες, διὰ vero omittit Phavorinus, p. 356, 22. ed. Basil. Cornutus, c. 30. p. 219. ed. Gale. sic forsan distinguendus est: καὶ τὴν κίτταν, ὡς

μένης διὰ τὸ ἐπιφέρεσθαι τὸ προ, ἐστὶ τροχαϊκὴ ἑπτάσημος, τῆς πρώτης μακρᾶς [69]ἀνακλωμένης ἐπὶ τὴν τελευταίαν βραχεῖαν τῆς πρώτης συζυγίας. Βραχεῖαν γὰρ αὐτὴν εἶπε, καὶ οὐκ ἐποίει τὸ ἰωνικόν· κοινῆς δὲ συλλαβῆς γενομένης τῆς κυ διὰ τὸ ἄφωνον εἶναι καὶ ἀμετάβολον, τὰ ἑξῆς ἔσται ἡ προειρημένη ἐπιμιξία.

2. Διονύσου] Ὁ δεύτερος στίχος μολοττός ἐστιν ἰωνικὸς ἀπ' ἐλάσσονος, τῶν πρώτων δύο βραχειῶν εἰς μίαν μακρὰν συναιρεθεισῶν· ὁ δὲ πρῶτος στίχος ἰωνικός.

69 ἀνακλωμένης] ἀντανακλωμένης E.

8 Τὸ δὲ [z] ἀκατάληκτον κατὰ τὸν ἀνακλώμενον χαρακτῆρα πολὺ παρὰ τῷ Ἀνακρέοντί ἐστι, (Fr. 62.)

Παρὰ δ' ἦὗτε [a] Πυθόμανδρον κατέδυν ἔρωτα φεύγων.

τῷ δὲ [b] καθάρῳ ἐφθημιμερεῖ ὅλον ᾆσμα Τιμοκρέων συνέθηκε,

Σικελὸς κομψὸς ἀνὴρ
ποτὶ τὰν ματέρ' ἔφα.

λάλον ὄρνεον, ἀφιεροῦσιν αὐτῷ. Καὶ Βασσαρέα καλοῦσιν ἀπὸ τοῦ βάζειν κ. τ. λ. Bacchus scilicet vocatur Bassareus, non pica, ut minus recte interpres. Sed ut ad Βασσαρίδας revertar, hoc nomine inscriptam fabulam composuit Æschylus, cujus meminerunt et alii, et Eratosthenes in Catasterismis, p. 9. ed. Fell. unde nonnulla exscribam argumentum istius tragœdiæ exponentia. Orpheus τὸν Διόνυσον οὐκ ἐτίμα, τὸν δὲ Ἥλιον μέγιστον τῶν θεῶν ἐνόμιζεν εἶναι, ὃν καὶ Ἀπόλλωνα προσηγόρευσεν· ἐπεγειρόμενός τε τῆς νυκτὸς κατὰ τὴν ἑωθινὴν ἐπὶ τὸ ὄρος τὸ καλούμενον Πάγγαιον, προσέμενε τὰς ἀνατολὰς, ἵνα ἴδῃ τὸν Ἥλιον πρῶτον. Ὅθεν ὁ Διόνυσος ὀργισθεὶς αὐτῷ, ἔπεμψε τὰς Βασσαρίδας, ὥς φησιν Αἰσχύλος ὁ ποιητὴς, αἵ τινες αὐτὸν διέσπασαν, καὶ τὰ μέλη διέρριψαν χωρὶς ἕκαστον· αἱ δὲ Μοῦσαι συναγαγοῦσαι ἔθαψαν ἐπὶ τοῖς λεγομένοις Λειβήθροις. Valckenærius in Callimacheis p. 186. e MS. corrigit ἐπεγειρόμενος ἐπὶ τὴν ἕω, et paullo post e conjectura ἐπέπεμψε.

[z] ἀκατάληκτον] ἀκαταληκτικὸν C. Quid est illud ἀκατάληκτον? num τρίμετρον? At hoc jam posuerat. Qualis denique versus sequitur? Nonne aperte hic sunt duo ionici anaclomeni? Scribendum igitur, τὸ δὲ δίμετρον τὸ ἀκατάληκτον etc. MEHLHORN. Proleg. Anacr. p. 14. quem secutus δίμετρον supplet Bergkius ante ἀκατάληκτον, et sic Schneidewin. n. 38. τετράμετρον invenisse in suo exemplari videtur Tricha p. 38. cujus hæc sunt verba: ἔνδοξά εἰσι καὶ ἀκατάληκτα τετράμετρα, ἃ μιᾷ συλλαβῇ τῶν προκειμένων ἐπῶν περιττεύουσι. Σαπφώ τε γὰρ κέχρηται τούτοις καὶ Ἀλκμὰν καὶ Ἀλκαῖος ὁ ποιητής. καὶ πέρα μὲν τούτων οὐχ εὕρηταί τις τῶν ἡμῖν γνωρίμων χρώμενος τοῖς ἀπ' ἐλάσσονος Ἰωνικοῖς· εἰ δ' εἰσιν, ὥς τινες φασὶ, καὶ πεντάμετρα, ἐκ τῶν ῥηθέντων ἂν κἀκεῖνα οὐκ ἀγνοήσαιμεν. Iterum p. 51. τοῖς ἀκαταλήκτοις τετραμέτροις Σαπφὼ καὶ Ἀλκμὰν καὶ Ἀλκαῖος ἐχρήσατο.

[a] Πυθόμανδρον sic Fl. et MSS. quidam, E. pro v. l. probante Bentleio ad Horat. Carm. I. 23, 5. Πυθόμενδρον C.P. in marg. πυθόμαν δὲ Turn. E.P. textu.

[b] καθαρῶς Turn. E. qui sequentia sic exhibent, Τιμοκρέων συνέθηκε σικελὸς, κομψὸς ἀνήρ· deinde ut versum Ποτὶ τὰν ματέρ' ἔφα. Hæc vero prava verborum distinctio ad finem libri recte emendatur. Quod quidem fugisse videtur Meursium Rhod. II. 13, ubi ex hoc nostri loco Timocreontem *Siculum* vocat. Ceterum ad hosce ipsos versus respicere videtur Plato in Gorgia p. 493 A. καὶ τοῦτο ἄρα τὶς μυθολογῶν, κομψὸς ἀνήρ, ἴσως Σικελός τις ἢ Ἰταλικός. Inter Anacreontea n. cvi. male inseruit Barnesius, secutus fortasse Scaligerum Poet. II. 21.

ΚΕΦ. ΙΓ'.

ΠΕΡΙ ΠΑΙΩΝΙΚΟΥ.

Τὸ δὲ [c] παιωνικὸν εἴδη μὲν ἔχει τρία, τό τε ΚΡΗΤΙΚΟΝ, καὶ τὸ ΒΑΚΧΕΙΑΚΟΝ, καὶ τὸ ΠΑΛΙΜΒΑΚΧΕΙΑΚΟΝ, ὃ καὶ ἀνεπιτήδειόν ἐστι πρὸς μελοποιΐαν· τὸ δὲ κρητικὸν ἐπιτήδειον. Δέχεται δὲ καὶ λύσεις τὰς εἰς τοὺς καλουμένους

c παιωνικὸν] παιονικὸν Fl. et similiter in seqq. παιωνικὰ δίμετρα ἀκατάληκτα ἃ καλεῖται κρητικὰ δίρρυθμα Schol. Aristoph. Eq. 322. qui ad 381. et τρίρρυθμα et δίρρυθμα citat. Similiter ad Acharn. 203. Pac. 345. ubi etiam στίχος— παιωνικῶν τετράρρυθμος ἀκατάληκτος.

3. παιωνικὸν—ΠΑΛΙΜΒΑΚΧΕΙΑΚΟ'Ν] Οὔκουν ἀπεδοκίμασαν οἱ μετρικοὶ τὸ παιωνικὸν μέτρον, ἐπεὶ οὐδὲ οἱ ῥυθμικοί. παιωνικὰ γάρ φασιν τὰ ἐν ἡμιολίῳ λόγῳ. ἡμιόλιον δέ ἐστιν, ὡς ἐν τοῖς κατὰ πλάτος εἰρημένοις αὐτοῦ ἕνδεκα βιβλίοις φησὶ, τὸ ἐξ ἑνὸς ἡμίσεως ποδὸς συγκείμενον· ὡς οἱ τρισύλλαβοι πόδες ἐκ τῶν δισυλλάβων αὐτοί τε οἱ μετρικοὶ τοῦ παιωνικοῦ τρία εἴδη φασί· τὸ ἐν κρητικῷ, τὸ ἐν βακχείῳ, τὸ ἐν παλιμβακχείῳ· πάντα δέ ἐστι πεντάσημα. Εἰ δέ τις ἔροιτο πῶς μέτρον τὸ παιωνικὸν μόνον παίωνα πρῶτον δέχεται καὶ τέταρτον, οὐδὲ δεύτερον καὶ τρίτον, ἴστω, ὡς οὐκ ἀπὸ τῶν παιώνων ποδῶν ὠνόμασται τὸ μέτρον, ἀλλ' ὅτι ἐν ἡμιολίῳ ἐστίν. κυρίως δὲ ἐν αὐτῷ πους ὁ κρητικὸς, ὃς λύων μὲν τὸν πρῶτον ποιεῖ παίωνα τέταρτον· ὁ γὰρ ἀμφίμακρος λύει τὴν πρώτην συλλαβὴν, καὶ ποιεῖ τῶν ἐκ τριῶν βραχειῶν καὶ μιᾶς μακρᾶς παίωνα τέταρτον· λύων δὲ τὴν ἐσχάτην αὐτὸς ὁ ἀμφίμακρος ποιεῖ παιῶνα πρῶτον, λύων δὲ ἄμφω ποιεῖ τὸν πεντάβραχυν. Ἡλιόδωρος δέ φησι κοσμίαν εἶναι τῶν παιωνικῶν τὴν κατὰ πόδα τομὴν, ὅπως ἡ ἀνάπαυσις διδοῦσα χρόνον ἑξασήμους τὰς βάσεις ποιῇ καὶ ἰσομερεῖς ὡς τὰς ἄλλας· οἷον, οὐδὲ τῷ κνακάλῳ οὐδὲ τῷ νυρσύλα. τούτου δὲ πάλιν ὑφαιρουμένη μὲν ἡ πρώτη ἐᾷ τὸ ἐκ βραχείου (sic), ἡ δὲ δευτέρα τὸ ἐκ παλιμβακχείου· ὁμοίως δ' ἐν τοῖς νεούργοις [Γεωργοῖς] Ἀριστοφάνης etc. S.

ib. τό τε ΚΡΗΤΙΚΟ'Ν] Ὁ πρῶτος παίων τὰς ἐν τέλει δύο βραχείας συνελὼν εἰς μίαν μακρὰν ποιεῖ τὸν κρητικὸν, τοῦτ' ἔστι τὸν ἀμφίμακρον· ὁ δεύτερος πάλιν τὰς τελευταίας συνελὼν ποιεῖ τὸν βακχεῖον· ὁ δὲ τρίτος πάλιν, τὰς πρώτας δύο βραχείας συνελὼν, ποιεῖ τὸν παλιμβάκχειον.

5. μελοποιΐαν] Εὑρισκομένων γὰρ δύο μακρῶν ἐφεξῆς καὶ 70 δύο βραχειῶν πάλιν, 71 ἀρρυθμία πολλὴ γίνεται· 72 ἐν τετραπλασίονι γὰρ λόγῳ 73 εὑρήσεται. Ἐπὶ μέντοι γε τοῦ ἀμφιμάκρου 74 διπλασίων ὁ λόγος γίνεται.

6. λύσεις] Αὐτοὶ οὗτοι οἱ πόδες λύονται εἰς τοὺς παίωνας· ἡ γὰρ πρώτη συλλαβὴ τοῦ κρητικοῦ λυομένη ποιεῖ τὸν 75 τέταρτον παιῶνα· ἡ δὲ ἐσχάτη, τὸν πρῶτον.

70 δύο βραχειῶν] μιᾶς βραχείας conjicit Pauwius, probante Boeckio.

71 ἀρρυθμία] ἀριθμία E.

72 καὶ ἐν τετραπλασίονι] ἐν τετραπλασίονι γὰρ E.

73 εὑρήσεται] εὑρίσκεται Boeck. de Metr. Pind. p. 146.

74 Legendum videtur ἡμιόλιος, vide supra Schol. ad cap. 3. Marium Victorinum p. 2485.

75 τέταρτον—πρῶτον] πρῶτον—τέταρτον E.

2 παίωνας. Καλεῖται δὲ καὶ ὑπ' αὐτῶν τῶν ποιητῶν [d]κρητικὸν, ὥσπερ ὑπὸ Κρατίνου ἐν Τροφωνίῳ,

ἔγειρε [e]δὴ νῦν, μοῦσα, κρητικὸν μέλος.

εἶτα ἐπιφέρει,

χαῖρε δὴ, μοῦσα· χρονία μὲν ἥκεις, ὅμως δ'
ἦλθες [f]οὐ πρίν γε δεῖν, ἴσθι σαφές· ἀλλ' ὅπως.

3 Ἐπιτηδεύουσι δὲ ἔνιοι τῶν ποιητῶν τοὺς πρώτους καλουμένους παίωνας παραλαμβάνειν, πλὴν τῆς τελευταίας χώρας, εἰς ἣν [g]τὸν κρητικὸν παραλαμβάνουσιν. Οὕτω γοῦν τὸ πολυθρύλλητον τετράμετρον συντιθέασιν, οὗ [h]παράδειγμα ἐκ τῶν Ἀριστοφάνους Γεωργῶν· (Fr. n. 162. Dind.)

[i]ὦ πόλι φίλη Κέκροπος, αὐτοφυὲς Ἀττική,
χαῖρε λιπαρὸν δάπεδον, οὖθαρ ἀγαθῆς χθονός.

4 Κέχρηται δὲ αὐτῷ καὶ ἐν ἄλλοις δράμασιν ὁ Ἀριστοφάνης καὶ ἐν Σφηξίν· (1266.)

ὦ μακάρι' Αὐτόμενες ὥς σε μακαρίζομεν.

καὶ Εὔπολις ἐν Κόλαξι,

[d] κρητικὸν] Sic Aristophanes Eccl. 1157. Κρητικῶς οὖν τὼ πόδε Καὶ σὺ κίνει.

[e] δὴ νῦν cum Turnebo omittit Plotius p. 2661. Sed Græca supplevisse ibi videtur Putschius ex Hephæstione, nam MS. ea non habet. Paullo ante καὶ τὸ παλιμβακχειακὸν om. Fl.

[f] οὐ πρὶν ἐλθεῖν] Sic edd. MSS. Totum locum sic emendavit et supplevit Porsonus: Χαῖρε δὴ, μοῦσα, χρονία μὲν ἥκεις, ὅμως δ' Ἦλθες οὐ πρίν γε δεῖν, ἴσθι σαφές· ἀλλ' ὅπως (Εὔτονον τοῖς θεαταῖσιν αἴσει μέλος.)

[g] τὸν] τὸ E.

[h] παράδειγμα C. παραδείγματα P.E. et alii.

[i] ὦ πόλι] Vide Hemsterhusium ad Aristoph. Plut. p. 261. Totus hic locus valde turbatur in E. Turn. οὖθαρ ἀγαθῆς χθονός. Ὦ μακάρι' Αὐτόμενες ὥς σε μακαρίζομεν· τούτῳ μὲν οὖν τῷ ὑστάτῳ κέχρηται Ἀριστοφάνης, καὶ ἐν ἄλλοις δράμασι, καὶ ἐν Σφηξίν· ἀλλὰ καὶ Εὔπολις ἐν Κόραξι (Κόλαξι E.) φησὶ γοῦν οὕτως. Dedimus ex Fl. et MSS. aliis.

13. Ὦ πόλι φίλη] Ὅλοι παίωνες πρῶτοι κοινῆς οὔσης τῆς κε ἐν τῷ λη κέκροπος τῆς τελευταίας μόνης τὸν κρητικὸν ἐχούσης. Ἔστι δὲ τὸ μέτρον παιωνικὸν τετράμετρον.

φημὶ δὲ βροτοῖσι πολὺ πλεῖστα παρέχειν ἐγὼ,
καὶ πολὺ μέγιστ' ἀγαθά· ταῦτα δ' ἀποδείξομεν.

5 ὅμως δὲ ἐν τοῖς Γεωργοῖς Ἀριστοφάνης ἐποίησε τὸν τέταρτον παίωνα ἀντὶ τοῦ πρώτου, οὐ τηρήσας τὸ πρῶτον παρατήρημα, (Fr. n. 162.)

ἐν ἀγορᾷ δ' αὖ πλάτανον εὖ διαφυτεύσομεν.

ἐν δὲ ταῖς [k] δευτέραις Θεσμοφοριαζούσαις καὶ κρητικοὺς πολλάκις ἐν μέσοις τοῖς τετραμέτροις παρέλαβε, (Fr. n. 314. Dind.)

μήτε Μούσας ἀνακαλεῖν ἑλικοβοστρύχους,
μήτε Χάριτας βοᾶν εἰς χορὸν Ὀλυμπίας,
ἐνθάδε γάρ εἰσιν, ὥς φησιν ὁ διδάσκαλος.

[k] δευτέρας] Omnes libri προτέραις. Mox κρητικὸν Fl.

ib. Hemsterhusius ad Jul. Polluc. X. 152. jure merito pro προτέραις hic reponendum esse censet δευτέραις. At si sententia Cl. Pauw vera foret, hæc emendatio supervacanea esset; sed qui Thesmophoriazusæ, quæ ad nos pervenerunt, fuerint secundæ, cum omnia loca et voces, quæ a veteribus ex iis citantur, in nostris non inveniantur? Ita apud Athen. I. 29 A. et Harpocrat. v. Πύλη, ut jam notavit vir eruditus Lud. Kusterus, duo loca ex secundis citantur Thesmophoriazusis, quorum neutrum in nostris reperias. Iste, qui ab Harpocratione citatur, plenius extat apud Schol. Aristoph. Nub. 623. sed ibi simpliciter est ἐν Θεσμοφοριαζούσαις. Addi possunt duo Suidæ loca notata a viro apprime docto J. A. Fabricio Bibl. Gr. II. 21. p. 677. Quorum locorum alter est in v. Λακωνίζω, alter in Λύκος ἔχανεν. Eam vocem idque proverbium, quo etiam usus est Euphron in Adelphis ap. Athen. IX. p. 380 B. Suidas extare ait in Thesmophoriazusis secundis: utriusque tamen nec vola nec vestigium in nostris est Thesmophoriazusis. Statuendum itaque omnino, eas, quas habemus Thesmophoriazusas, primas esse; eoque magis quod A. Gellius N. A. XV. 30. locum citet ex primis Thesmophoriazusis, ut scribit, depromptum: qui etiam in nostris reperitur. Inde certo liquet pro προτέραις, hic legendum esse δευτέραις: versiculi enim, quos Hephæstio citat, in nostris Thesmophoriazusis non inveniuntur. ARNALD. V. Casaub. ad Athen. I. 23. Kuster. ad Thesmoph. init. D'Orvill. Crit. Van. p. 533.

6. ἐν ἀγορᾷ] Τὸ γάρ ἐν ἀγορᾷ τέταρτον παίωνα ἀντὶ τοῦ πρώτου ἐδέξατο· τοὺς δὲ [76] τέσσαρας ἑξῆς πρώτους παίωνας.

11. Εἰς χορὸν] Πάλιν τὸ τας βοᾶν κρητικὸν παρέλαβεν ἐν μέσῳ, καὶ τὸ, εἰσίν ὥς κρητικόν. Ὅλως δὲ οἱ τελευταῖοι ὁμοίως κρητικοί.

76 Lege τρεῖς.

6 Σιμμίας δὲ ἐπετήδευσεν ἔν [l]τισι ποιήμασι τοὺς πλείστους κρητικοὺς παραλαμβάνειν,

μᾶτερ ὦ πότνια, κλῦθι, νυμφᾶν ἁβρᾶν,
Δῶρι, κυμοκτύπων [m]ἥραν' ἁλίων μυχῶν.

καὶ πάλιν,

σοὶ μὲν εὔιππος, [n]εὔπωλος, ἐγχέσπαλος
[o]δῶκεν αἰχμὰν Ἐνυάλιος εὔσκοπον ἔχειν.

7 Ἓν δὲ ποίημα ἐπετήδευσε συνθεῖναι, ὥστε [p]ἀμφοτέρας τὰς ἑκατέρωθεν τοῦ κρητικοῦ μακρὰς [q]λύσας τὸν [r]ἐκ πέντε βραχειῶν παραλαμβάνειν πλὴν τῆς τελευταίας, ἐφ' ἧς τὸν τέταρτον παραλαμβάνει παίωνα· ἔσθ' ὅτε δὲ καὶ ἐπὶ τῆς [s]παρατελεύτου κέχρηται,

σέ ποτε Διὸς ἀνὰ πύματα νεαρὲ κόρε νεβροχίτων.

[l] τισι] τοῖς E. pr.

[m] Ἥρα Turn. ἥραν Fl. MSS. ἥραν' lectio est Salmasii ad Simmiæ Rhodii Securim p. 207. Porsonus malebat, Δῶρι, κυμοκτύπων Ἡρακλείων μύχων, i. e. δέσποτις.

[n] εὔπωλος] Sic omnes Edd. et MSS. defenditque Arnaldus ex Sophoclis Œd. Col. 711. εὔκωλος Pauwius. εὔμωλος Toupius Em. T. III. p. 551. et sic ad Sophoclem Musgravius. In versu sequente Turnebus habet εὔσκοπόν γ', quod metrum pessumdat, Ἐνυάλιος enim secundam producit. Dionysius quidem Halicarn. περὶ Συνθέσεως ὀν. c. xvii. p. 128. ed. Upton. allegat pro exemplo pedis chorei, Βρόμιε, δορατόφορ', ἐνυάλιε, πολεμοκέλαδε, quem tamen locum hoc nomine vitii suspectum habeo. Porsonus corrigebat, Δῶκεν αἰχμὰν ἔχεν Ἐνυάλιος εὔσκοπον.

[o] δῶκεν] ἔδωκεν P.E.S.

[p] ἀμφοτέρας deest Fl. B.H.

[q] λύσας] λύσεις E.

[r] ἐκ πέντε βραχειῶν παραλαμβάνειν παίωνα C. ἐ. π. β. παραλαμβάνει πλὴν τῆς τελευταίας. ἐφ' ἧς τὸν δ. παίονα Fl.

[s] παρατελευταίου Turn. E. in textu, cum alt. pro v. l.

3. μᾶτερ] Ὅλοι κρητικοί, τοῦ πότνια 77 τῆς α ἀντὶ μακρᾶς, τῷ λόγῳ τῆς κοινῆς, καθὸ κατέμιξε, λαμβανομένης· ἔτι δέ, καὶ διὰ τὴν τῶν δύο συμφώνων ἐπιφοράν.

ib. ποτνία] Ἰστέον ὅτι ὁ Ὠρός φησιν ὡς ἀντὶ μακρᾶς ἐνταῦθα τὸ α τὸ πότνια κοινῆς ὂν συλλαβῆς, ὅτι ἀπήρτισεν εἰς μέρος λόγου. ὡς τὸ, Νέστορα δ' οὐκ ἔλαθεν ἰαχή. ἀλλὰ μᾶλλον δεῖ μὴ κατὰ τοῦτο λέγειν αὐτὸ μακρόν, ἀλλ' ὅτι ἔχει δύο σύμφωνα ἐπιφερόμενα τὸ κλ τὸ κλῦθι. S.

13. σέ ποτε] Ἰδοὺ αἱ μὲν τρεῖς βάσεις ἐκ τοῦ πενταβράχεος· ἡ δὲ τετάρτη ἐκ τοῦ τετάρτου παίωνος, τῆς νε πάλιν, ἐν τῷ νεβροχίτων ἀντὶ βραχείας παραλαμβανομένης.

77 Sic Pauwius pro τὸ α.

8 *Συντιθέασι δέ τινες καὶ ἑτέρῳ τρόπῳ τὸ τετράμετρον, ὥστε τρεῖς εἶναι τοὺς καλουμένους τετάρτους παίωνας, εἶτα τελευταῖον τὸν κρητικὸν,*

[t] *θυμελικὰν ἴθι μάκαρ φιλοφρόνως εἰς ἔριν.*

ᾧ δὴ ἔφαμεν τρόπῳ συνεχῶς κεχρῆσθαι αὐτοὺς ἐπὶ [u]*τοῦ τετραμέτρου, ὥστε τοῖς τρισὶ παίωσι τοῖς πρώτοις ἐπά-*
9 *γειν κρητικόν.* Τούτῳ *καὶ ἐπὶ τοῦ πενταμέτρου* Θεό*πομπος ὁ κωμικὸς ἐχρήσατο ἐν* Παισὶν, *ἀφ' οὗ καὶ* Θεο*πόμπειον καλεῖται,*

πάντ' ἀγαθὰ δὴ γέγονεν ἀνδράσιν ἐμῆς ἀπὸ συνουσίας.

10 *Δύναται δὲ καὶ μέχρι τοῦ ἑξαμέτρου* [x]*προκόπτειν τὸ μέτρον διὰ τὸ τριακοντάσημον μὴ ὑπερβάλλειν· καὶ εἴη ἂν ἑξάμετρον καταληκτικὸν τὸ καλούμενον* [y]*τοῦ* Ἀλκμᾶ-

[t] *θεμελιακὰν* C.
[u] *τοῦ τετραμέτρου] τῶν τετραμέτρων* Fl. B.H.E. pro v. l.
[x] *προκόπτειν—ἑξάμετρον* om. C.
[y] *τοῦ] τὸ τοῦ* C.P.E.

4. *θυμελικὰν ἴθι μάκαρ καὶ τὰ ἑξῆς] Ἐκ τῶν καλουμένων δελφικῶν ἔστιν ἡ προκειμένη χρῆσις, μὴ ἐχόντων τὸ ὄνομα τοῦ ποιητοῦ.* S. De h. l. vid. Meinek. Fragm. Com. Anon. T. IV. p. 649.

5. *Ὧι δὴ] Ἐπὶ τὰ πρῶτα ἀνατρέχει, ὅπου ἔφη, ἐπιτηδεύουσι λαμβάνειν τοὺς πρώτους παίωνας, καὶ τὰ ἑξῆς, καὶ φησὶ τὸ ὅμοιον καὶ ἐπὶ τῶν* [78]*τετραμέτρων πεποιηκέναι Θεόπομπον.*

11. *Δύναται] Ὁ γὰρ παίων πεντάχρονός ἐστι, καὶ οἱ εἰς αὐτὸ τὸ μέτρον ἐμπίπτοντες, ὅ τε κρητικὸς, καὶ ὁ βακχεῖος· ὥστε εἶναι τὸ ἑξάμετρον τριάκοντα χρόνων· πέντακις γὰρ ἕξ, τριάκοντα. Ἕως τούτου δὲ προβαίνει ἡ ποσότης τῶν ἐν τοῖς στίχοις χρόνων κατὰ Ἡφαιστίωνα· ἐπεὶ* [79]*καθ' ἕτερον καὶ ἕως λβ΄. Ἔνθα τὰ ὑπὸ τὸ τρίτον γένος τῶν ποδῶν ὡς ἔχοντα ἓξ χρόνους οὐδέποτε ποιεῖ ἑξάμετρον ὑπερπίπτοντα τὸν λ΄. Πλὴν σημείωσαι, ὅτι τὸ κρητικὸν διαφέρει πρὸς τὰ ἄλλα μέτρα. Τὰ μὲν γὰρ ἄλλα κατ' ἀφαίρεσιν τὰ ἀντιπαθοῦντα αὐτοῖς μέτρα τίκτει· ὥσπερ τὸ ἰαμβικὸν κατ' ἀφαίρεσιν τῆς ἐν τῇ ἀρχούσῃ βραχείας τίκτει τὸ τροχαϊκόν·* [80]*τροχαϊκὸν δὲ κατὰ ἀφαίρεσιν τῆς ἐν τῇ ἀρχούσῃ μακρᾶς τίκτει τὸ ἰαμβικόν· ταὐτὸ καὶ ἐπὶ τοῦ δακτυλικοῦ καὶ ἀναπαιστικοῦ. Τὸ μέντοι κρητικὸν κατ' ἀφαίρεσιν τῆς ἐν τῇ ἀρχούσῃ μακρᾶς ποιεῖ τὸ βακχειακὸν μέτρον, ὃ* [81] *μονοειδὲς αὐτό. Αὔξεται δὲ τοῦτο καὶ μέχρι ἑξαμέτρου.*

78 Recte *πενταμέτρων* Pauwius.
79 *καθ' ἕτερον]* Tzetzes p. 95, 28. *ἕως δὲ τῶν τριάκοντα σημείων Ἡφαιστίων | ὁ ῥυθμογράφος ἀξιοῖ ἀνάγεσθαι, τὸ σύμπαν· | κατὰ δ' ἑτέρους τίθενται τριάκοντα καὶ δύο.*
80 *τροχαϊκὸν δὲ] καὶ τὸ τροχαϊκὸν* E.
81 *ὁμοιοειδὲς* conjicit Pauwius, deinde *αὐτῷ* Tyrwhitt. *ὁμοιοειδὲς αὐτῷ* Bentleius.

νος ἐκ μόνων ἀμφιμάκρων, (Ursin. p. 65. Bergk. n. 29.)

Ἀφροδίτα μὲν οὐκ ἔστι, μάργος δ' Ἔρως οἶα [z]παῖς παίσδει
ἄκρ' ἐπ' [a]ἄνθη καβαίνων, ἃ μή μοι θίγῃς τῷ [b]κυπαιρίσκῳ.

11 Δεδηλώσθω δὲ ὅτι καὶ ὅλα ᾄσματα κρητικὰ [c]συντίθεται, ὥσπερ καὶ παρὰ Βακχυλίδῃ, (Ursin. p. 202. Bergk. n. 31.)

ὦ Περίκλειτε [d]δ' ἄλλ' ἀγνοήσειν μὲν οὔ σ' ἔλπομαι.

12 Τὸ δὲ [e]ΒΑΚΧΕΙΑΚῸΝ σπάνιόν ἐστιν· ὥστε, εἰ καί που ποτὲ ἐμπέσοι, ἐπὶ βραχὺ εὑρίσκεσθαι, οἷον,

[f]ὁ ταῦρος δ' ἔοικεν [g]κυρίξειν τιν' ἀρχὰν,
φθάσαντος δ' ἐπ' ἔργοις προπηδήσεταί νιν.

Τοσαῦτα περὶ τῶν ἐννέα τῶν μονοειδῶν καὶ [h]ὁμοιοειδῶν μέτρων.

ΚΕΦ. ΙΔ'.

ΠΕΡΙ ΤΩΝ ΚΑΤ' ΑΝΤΙΠΑΘΕΙΑΝ ΜΙΞΕΩΝ.

Τῆς δὲ κατὰ ἀντιπάθειαν μίξεως νῦν τὰ πυκνότατα παραθησόμεθα.

[z] παῖς παίσδει] Sic Bentleius et Toupius Em. T. III. p. 385. οἶα παίσδα Fl. B.N.H. παίσδει C.E. et Turn. conj. in calce. παίσδει P. παῖς δὴ Turn. In seq. αἰπάνθης C. ἐπάνθης P.

[a] ἄνθη καβαίνων] ἀνθησκαβαίνων E. et ἀνθηκαβαίνων pro v. l.

[b] κυπαιρίσκῳ] Sic recte Turn. C.P.E.S. Eustathii loca Il. ξ'. p. 969=954, 20. φ'. 1239=1328, 47. Od. κ'. 1648, 7=382, 31. citavit D'Orvillius. Vide Koënium ad Gregor. p. 115. Alii κυπαρίσκῳ. Welcker. τῷ κυπαιρίσκῳ.

[c] συντίθεται] συντίθενται E.

[d] δ' ἄλλ'] τ' ἄλλ' Turnebus in calce. Περίκλειτε τἄλλ' Bergk. post Hermannum.

[e] ΒΑΚΧΕΙΑΚΟΝ] Grammaticum Eugenium scripsisse Περὶ τοῦ τί τὸ παιωνικὸν παλιμβάκχειον auctor est Suidas.

[f] ὁ ταῦρος δ' ἔοικεν] Βασσάρων Αἰσχύλου ἡ χρῆσις. S.

[g] κορύξειν Fl. B. κορίξειν H. κορύψειν D. κυρίζειν E. Turn. in calce. κηρύξειν C.P. κορύξειν E. pro v. l.

[h] ὁμοιοειδῶν] ὁμοειδῶν Fl. E. corr. Tum μέτρων om. P.S.

12. μονοειδῶν] Μονοειδῶν ὡς πρὸς ἀντιδιαστολὴν τῶν ἀσυναρτήτων. Ἐκεῖνα γὰρ ἐκ δύο εἰδῶν συνέστηκεν.

ib. ὁμοιοειδῶν] Ὁμοιοειδῶν, διότι ὑπὸ τὸ αὐτὸ εἶδος ἀναφέρεται πλείονα· οἷον, ὑπὸ τὸ ἀντισπαστικὸν, τὸ Φερεκράτειον, τὸ Γλυκώνειον, ὁμοίως κἀπὶ τῶν ἄλλων.

16. Τῆς δὲ κατ' ἀντ.] Ἐνταῦθα περὶ τῶν τοῖς ἀρχαίοις εὑρημένων μεμιγμέ-

2 Ἐπιχοριαμβικὸν μὲν οὖν, τὸ σαπφικὸν καλούμενον ἑνδεκασύλλαβον, οἷον,

[i]Ποικιλόθρον' ἀθάνατ' Ἀφροδίτα.

[j]τοῦτο δὲ τὴν μὲν πρώτην συζυγίαν ἔχει τροχαϊκὴν [k]ἑξάσημον, ἢ ἑπτάσημον· τὴν δὲ δευτέραν, χοριαμβικήν· τὴν δὲ κατακλεῖδα ἐξ ἰάμβου καὶ τῆς ἀδιαφόρου, ὥστε εἶναι τὰ πάντα δύο σχήματα περὶ τὴν τετάρτην συλλαβὴν, πῆ μὲν βραχεῖαν γινομένην, πῆ δὲ μακράν. Θάτερον μὲν οὖν σχῆμα, τὸ

Ποικιλόθρον', ἀθάνατ' Ἀφροδίτα

πρόκειται· θάτερον δὲ,

ἀλλὰ [l]τυίδ' ἔλθ' αἴ ποτα κἀτέρωτα.

ὥστε εἶναι τὸν κανόνα τοιοῦτον,

βαβα βααβ αββ
βαββ βααβ αβα

ἔστι δὲ καὶ παρ' [m]Ἀλκαίῳ, καὶ [n]ἄδηλον ὁποτέρου ἐστὶν

[i] Ποικιλόθρον'] Ποικιλόφρων S.

[j] τοῦτο δὲ] δὲ om. E.

[k] ἑξάμετρον Fl. B. Mox ἢ ἑπτάσημον suprasc. in E.

[l] τυίδ' ἐλθ' αἴ ποτε κατ' ἔρωτα Fl. P.E.S. αἴ ποτα C. τοί δ' ἔλθ' αἴποτε κ. ἔ. Turn. κατερῶτα Vossius ad Catullum p. 116. Alii κατέρυτα. Vide Koënium ad Gregor. Dial. Æol. s. ix. In canonibus metricis edendis editionum et manuscriptorum nulla habenda erat ratio. Ubique ad Hephæstionis mentem, non monito lectore, reformavi. Hoc tantum notent tirones, syllabam brevem littera α, unum tempus, longam littera β, duo tempora significante, indigitari. Vid. Marius Victorinus p. 2492=64. Ceterum hunc locum egregie illustrabunt observata peritissimi rerum musicarum interpretis Caroli Burneii, *History of Music*, T. I. p. 74.

[m] Ἀλκαίῳ] Sic calx Turnebi cum Fabricio Bibl. Gr. VII. p. 19. Ἀλκαίωνι edd. et MStorum pars. In E.P. νι delevit manus secunda. ἀκαίωνι S. Ἀλμάνι C. pr. m.

[n] ἄδηλον] δῆλον P.

νων τινῶν κατ' ἀντιπάθειαν ἀλλήλων ὄντων μέτρων βούλεται διαλαβεῖν ὁ τεχνικὸς, καὶ λέγει, ὅτι τὰ πυκνότατα τουτέστι τὰ συνήθη ἐν τῇ χρήσει περιφέρω. S.

13. ὥστε εἶναι τ. κ. τ.] Φησὶ τὸ β λάμβανε μακράν· τοῦτο γὰρ δηλοῖ τὸ β' ὅτι β' χρόνοι εἰσὶν, οἵ τινες καὶ ἀπεργάζονται τὴν μακράν· τὸ δὲ α' τὴν βραχεῖαν ἐξ ἑνὸς χρόνου οὖσαν S.

εὕρημα, [o]*εἰ καὶ Σαπφικὸν καλεῖται, οἷον,* (Ursin. 104. Bergk. 5.)

χαῖρε Κυλλάνας [p]*ὁ μέδεις,* [q]*σὲ γάρ μοι.*

3 *Τοιούτοις χρῶνται* [r]*τρισὶν εἰς ἑκάστην στροφήν· εἶτ'* [s]*ἐπιφέρουσι τὸ τέταρτον πεντασύλλαβον, χοριαμβικὸν πενθημιμερὲς, συνεπίπτον δακτυλικῷ τῷ εἰς δεύτερον τροχαῖον·* [t]*οἷόν ἐστι τὸ,*

πότνια θυμόν.

τοῦτο μὲν οὖν ἀπὸ τροχαϊκῆς ἐστὶν ἐπιχοριαμβικόν.

4 *Ἀπὸ δὲ ἀντισπαστικῆς, τὸ καλούμενον* ΠΙΝΔΑΡΙΚῸΝ [u]ἘΝΔΕΚΑΣΎΛΛΑΒΟΝ, *ὃ τὴν μὲν πρώτην* [x]*ἀντισπαστικὴν ἔχει, τὰ δὲ λοιπὰ ὁμοίως τῷ Σαπφικῷ χοριαμβικὴν καὶ ἰαμβικὴν κατακλεῖδα· οἷον,* (Schneider. lxv.)

Ὁ [y]*Μουσαγέτας με καλεῖ χορεῦσαι,*
[z]*ἄγοις ὦ κλυτὰ θεράποντα Λατοῖ.*

5 ἘΠΙΩΝΙΚῸΝ *δὲ* [a]ἈΠῸ ΜΕΊΖΟΝΟΣ *τρίμετρον καταληκτικόν ἐστι, τὸ καλούμενον* [b]ἈΛΚΑΙΚῸΝ ἘΝΔΕΚΑΣΎΛΛΑΒΟΝ· *ὃ τὴν μὲν πρώτην συζυγίαν ἔχει ἰαμβικὴν, ἤτοι ἑξάσημον ἢ ἑπτάσημον· τὴν δὲ δευτέραν, ἰωνικὴν ἀπὸ μείζονος, ἢ δευτέραν παιωνικήν· τὴν δὲ κατακλεῖδα, ἐκ τροχαίου καὶ τῆς ἀδιαφόρου, οἷον,* (Ursin. p. 104. Bergk. nn. 1. 21.)

[o] *εἰ καὶ*] *καὶ εἰ* P.E.S.

[p] *μέδεις* sic MSS. *δς μεδέεις* Fl. *μέδων* S. Turn. et Ursin.

[q] *σὲ γάρ μοι*] Addit S. *καὶ θυμὸς ὑμνεῖν τὸν κορυφᾶσιν αὐγαῖς· καὶ μαία γέννα τῶ κρονίδη μαιεία.*

[r] *τρισὶν*] *τισιν* P.

[s] *ἐπιφέρουσι τὸ διχοριαμβικὸν* Fl. B.H.

[t] *οἷόν ἐστι τὸ τοιοῦτον* Turn. E.

[u] *ἑνδεκασύλλαβον* om. C.

[x] *ἀναπαιστικὴν* F.H.B.

[y] *Μουσαγέτας* est Epitheton Apollinis qui ita vocatur a Platone Legg. II. init. Strabo, X. p. 468 A. Aristides Quintilianus p. 4. invocat *τὸν πρόσω θεὸν Μουσαγέτην* qui ibi est *Ἀπόλλων Μουσῶν ἐπιστάτης*. HOTCHKIS. Vide Bentleium ad Hor. Carm. IV. 6, 25. Pindar. Nem. V. 45. Aristoph. Av. 217. Eustath. Il. *α'*. p. 10.=8, 45.

[z] *ἄγοις*] *ἄγεις* E.

[a] *ἀπὸ μείζονος* om. E.

[b] *Ἀλκαικὸν* om. P.

[c] ὦ 'ναξ "Απολλον, παῖ μεγάλω Διός.
[d] Μέλαγχος [e] αἴδως ἄξιος εἰς πόλιν.

ὥστε εἶναι σχήματα μὲν αὐτοῦ τέσσαρα, κανόνα δὲ τοιόνδε,

αβαβ ββαα βαα
ββαβ ββαα βαα
αβαβ αβαα βαα
ββαβ αβαα βαα

6 Τρίμετρον δὲ ἀκατάληκτον τὸ τούτου περιττεύον συλλαβῇ τῇ τελευταίᾳ, καλούμενον δὲ ἈΛΚΑΙΚῸΝ ΔΩΔΕΚΑΣΎΛΛΑΒΟΝ, οἷον, (Ursin. p. 102. Bergk. n. 55.)

[f] ἰόπλοχ', ἀγνὰ, [g] μελλιχόμειδε Σάπφοι.

[h] οὗ κανὼν οὗτος,

αβαβ ββαα βαβα
ββαβ αβαα βαββ

[c] ἄναξ—μέγαλοιο Fl. H.B.

[d] Melanchrus Mitylenæ tyrannus a Pittaco interficitur. Diog. Laert. I. 74. Suidas in v. Πίττακος. Alcæus Pittaco inimicus hæc in laudem Melanchri scripsisse videtur. Vide D'Orvillii Van. Cr. p. 459. et Bentleium Dissert. Phalarid. p. 33. ed. 1699. HOTCHKIS. Bentleius in notulis MSS. nescio qua de causa, scripserat, "Μελάγχρως καὶ μελαγχρής· ἀμφό-" "τερα 'Αττικά· μᾶλλον δὲ διὰ τοῦ" "η. Κρατῖνος. Photii Lex. MS. Conferatur tamen Eustathius ad Hom. Od. π'. p. 1799, 16. = 601, 1. 'Αττικὸς δὲ ἀνὴρ συγκόψας τὸ μελαγχροιής, μελαγχρὴς λέγει· ὅθεν καὶ Μένανδρος μελαγχρές φασιν εἶπε μειράκιον. Vide fr. inc. ap. Meinekium n. 340. Antiphanes Athenæi IV. p. 161 A. Eustath. Od. τ'. p. 1863, 55. = 694, 8. μάζης μελαγχρῆ μερίδα λαμβάνων λέπει. Vide Pierson. ad Mœrin p. 263.

[e] αἰδὼς Fl. Turn. Arnaldus αἰδοῦς legendum suadet, quod est verisimile, vel pro illo αἰδῶς. HOTCHKIS. αἰδῶς Vossius ad Catullum p. 118. probante D'Orvillio, sed αἴδως recte se habet: nam Æoles sunt βαρυντικοί.

[f] ἰόπλοκ' ἀγνὰ P.E. ἰόπλοκ' ἀγνὰ S.

[g] μειλιχόμειδε] μελιχόμειδε P. et fere S. μελλιχόμειδε E. μελιχόμειδε Fl. μελιχόμειδες C. Hanc vocem ad corruptam Hesychii glossam bene admovit Toupius Em. III. p. 426. etsi in verbis lexicographi constituendis, MSti ope destitutus, a vero aliquantum aberravit. Codex Venetus apud Schowium pro Musurianis Μειλιχόμητις, ἡδὺς, exhibet tantum μειλιχομετίδης. Una τ litterula deleta omnia plana evadent: μειλιχομείδης, πραΰγελως, ἡδύγελως, ἡδεῖα, πραΰνοος. Non tamen negarim vocem ultimam τῷ μειλιχόμητις aptius convenire. Conferendus H. Steph. Thesaur. II. p. 1612 A.

[h] καί ἐστιν ὁ κανὼν οὗτος Fl. B. D.H.

7 Τετράμετρον δὲ καταληκτικὸν ἐπιωνικὸν, ὃ τὴν μὲν πρώτην ἔχει ἰαμβικὴν, ἤτοι ἑξάσημον ἢ ἑπτάσημον, τὴν δὲ δευτέραν ἰωνικὴν ἢ δευτέραν παιωνικὴν, τὴν δὲ τρίτην τροχαϊκὴν ἑξάσημον ἢ ἑπτάσημον, εἶτα τὴν ἐκ τροχαίου καὶ [i] τῆς ἀδιαφόρου κατακλεῖδα· οἷον, [p. 1053. n. 51 Bergk.]

τοιοῦτος εἰς Θήβας παῖς [k] ἁρμάτεσσ' ὀχήμενος.
[l] Μάλις μὲν ἔννη λεπτὸν ἔχοισ' ἐπ' ἀτράκτῳ λίνον.

κανὼν δὲ αὐτοῦ οὗτος,

αβαβ ββαα βαβα βαα
ββαβ αβαα βαββ βαβ.

8 Ἀπ' ἐλάσσονος δὲ ἐπιωνικὸν τρίμετρον ἀκατάληκτόν ἐστι παρ' Ἀλκμᾶνι· ὃ τὴν μὲν πρώτην ἔχει ἰαμβικὴν ἑξάσημον ἢ ἑπτάσημον, τὰς δὲ ἑξῆς δύο ἰωνικὰς ἑξασήμους καθαρὰς, οἷον, (Ursin. p. 66. Bergk. nn. 79. 80.)

περισσόν. αἲ γὰρ Ἀπόλλων ὁ [m] Λύκηος.
[n] Ἰνὼ σαλασσομέδοισ' ἂν ἀπὸ μάσδων.

κανὼν δὲ αὐτοῦ οὗτος,

αβαβ ααββ ααββ
ββαβ ααββ ααβα.

9 Καθαροῦ μὲν ὄντος τοῦ ἰωνικοῦ, τοῦτο· ἀνακλωμένου

[i] τῆς om. C.P.

[k] ἁρμάτεσσ' ὀχήμενος] Sic Bentleius, E. em. ὀχούμενος Arnaldus. ἁρμάτεσσι χήμενος P. E. pr. Turn. Fl. χείμενος C.

[l] μᾶλις C. μάλις P. quod nomen mulieris esse putat Dindorfius T. L. G. in v. Μόγις p. 1129 A. Tum Ἔννα Toupius ad Suid. T. I. p. 168. Sed ἔννη *nebat* recte interpretatur Blomfieldus. Vid. Etymol. M. p. 344, 1. Canon deest in ed. Turn. ἀκατάληκτον deest Turn.

[m] Λύκειος] Λύκηος C.P. Λύκιος E. Turn. Fl.

[n] ἰνὼ σάλας ὁ μίδοισαν ἀπομάσδων Fl. ἰνωσαλασσομέδοισαν ἀπὸ μάσδων C. σαλασσομέδοισὰν P. Ἰνὼ σάλας ὁμέδοισαν ἀπομάσδων E. S. Turn. σάλασσα pro θάλασσα Doriensibus tribuit Etymologus MS. Paris. apud Koën. ad Gregor. p. 137. Porsonus: Ἰνὼ σαλασσομέδοισ', ἂν ἀπὸ μασθῶν [ῥίπτεν φάτις γαλασηνὸν Μελικέρταν.]

21. ἀνακλωμένου] Ἀνακλώμενον καλεῖται τὸ μέτρον, ὅτι πολλάκις ὁ λείπων χρόνος ἐν τινὶ βάσει ἀνακλᾶται εἰς ἄλλην βάσιν, ὥσπερ τῆς δευτέρας βάσεως τοῦ δευτέρου παραδείγματος [82] λειπούσης χρόνῳ· παίωνα γὰρ ἔχει τρίτον

82 λειπούσης] ἐλαττομένης S. qui statim, παίων γάρ ἐστι τρίτος ἀντὶ Ἰωνικοῦ ἀπ' ἐλάττονος.

δὲ ὄντος αὐτοῦ, προταχθεῖσα ἰαμβικὴ ἑξάσημος [o] ἡ ἑπτάσημος ποιεῖ τὸ τοιοῦτον, οἷον παρὰ Σαπφοῖ, (Ursin. p. 10. Bergk. nn. 58. 59.)

ἔχει μὲν [p] Ἀνδρομέδα καλὰν ἀμοιβάν.
[q] Ψάπφοι τί τὰν πολύολβον Ἀφροδίταν.

κανὼν δὲ αὐτοῦ [r] οὗτος,

αβαβ αaβα βαββ
ββαβ ααβα βαβα.

ΚΕΦ. ΙΕ.

ΠΕΡΙ ΑΣΥΝΑΡΤΗΤΩΝ.

Γίνεται δὲ [s] καὶ ἀσυνάρτητα, ὁπόταν δύο κῶλα μὴ δυνάμενα ἀλλήλοις συναρτηθῆναι μηδὲ ἕνωσιν ἔχειν ἀντὶ ἑνὸς [t] μόνου [u] παραλαμβάνηται στίχου. Πρῶτος

[o] ἡ ἑπτάσημος om. Fl. ἤτοι ante ἑξάσημος habent Turn. E.
[p] Ἀνδρομέδαν καλὰ ἀμοιβὰν C.P. καλὰ item E.S.
[q] Σαπφοῖ] ψάφοι Fl. ψαπφοῖ B. H.C.P.S. Vid. Ahrens de Dial. Æol. §. 7. p. 49.
[r] οὗτος. ὅδε Turn. E.
[s] καὶ deest Turn. E.
[t] μόνου suprascriptum in E.
[u] παραλαμβάνωνται Turn. παραλαμβάνονται E. παραλαμβάνεται C.

πεντάσημον, ὁ λείπων χρόνος ἀνεκλάσθη ἐν τῷ ἀφροδίταν, [83] ἑπτάσημον γὰρ ἔχει διποδίαν τροχαϊκήν· ἔχει δὲ οὕτως ὡς ὑποτέτακται ὑπὸ τοῦ Τεχνικοῦ. Ἡ γὰρ τελευταία τῆς δευτέρας ὀφείλουσα εἶναι μακρὰ, βραχεῖά ἐστιν· ἡ δὲ πρώτη τῆς τρίτης ὀφείλουσα βραχεῖα εἶναι, μακρά ἐστιν, ἥ τις ἀνακλᾶται ἐπὶ τὴν πρὸ αὐτῆς συλλαβὴν, καὶ κατὰ ἀντιστροφὴν [84] νοεῖται.

12. μηδὲ ἕνωσιν] Ὡς τὰ ἐλεγεῖα. Τὸ γὰρ πρῶτον μέρος τοῦ ἐλεγείου πρὸς τὸ δεύτερον οὐχ ἥνωται ἐν τῷ μέτρῳ, [85] οἷον μὴ κοινωνίαν ἔχοντα, ἀλλὰ ἀσυνάρτητα ὄντα. Ἰστέον δὲ ὅτι ἀσυνάρτητα γίνεται τὰ πάντα ξδ΄. Τὰ γὰρ ὀκτὼ μέτρα τοῖς ὀκτὼ μέτροις, τοῦτ᾽ ἔστιν ἑαυτοῖς, ἐπιπλεκόμενα, τὰ ξδ΄ [86] ταῦτα γίνεται. Ἀπὸ τῶν ἑξασήμων μὲν, λς΄· ἑξάκις γὰρ τὰ ς΄, λς΄. Τῶν δὲ τετρασήμων [87] εἰσὶν κδ΄, καὶ τέσσαρα τὰ λεγόμενα ἐπισύνθετα, ἃ καὶ αὐτά ἐστι τῶν ἀσυναρτήτων. Ἔτι καὶ θάτερον τρόπον, τούτων μονοειδῆ μέν ἐστιν ὀκτώ· μονοειδὲς δὲ λέγεται ἀσυνάρτητον, οἷον τὸ ἐλεγειακόν· ὁμοιοειδῆ δὲ ὀκτὼ, οἷον, ὅταν τὰ ἰαμβικὰ μὴ τέλεια ὄντα χοριαμβικοῖς ἢ ἀντισπαστικοῖς ἐπιφέρηται, ἢ τροχαϊκὰ ἰωνικοῖς, ἢ ἐναλλάξ· ἐπισύνθετα δὲ κδ΄, ἀντιπαθῆ κδ΄, ὧν [88] τὸ μὲν πρώτης ἀντιπαθείας, ὅσον μιᾶς συλλαβῆς ἐκτιθεμένης, τὸ ὅλον ἓν ποιεῖ. ἀχρειόγελως.] Ἐν γὰρ τῷ λως ἔληξε τὸ μέρος τοῦ λόγου· τὸ δὲ ἐφθημιμερές ἐστιν ἐν τῷ Ὁ, καὶ ἔτεμε τὸ ὅμιλε.

83 ἑπτάσημον] μακρὸν γάρ ἐστι τὸ ταν nec plura S.
84 νοεῖται] νοεῖ τι E.
85 οἷον μὴ] διὸ ἀσυνάρτητα καὶ τὰ ἐλεγεῖα λέγει S. omissis reliquis.
86 ταῦτα] τούτων E.
87 Ita emendavit Pauwius. Turnebus edidit τῶν δὲ τετρασήμων τέσσαρα τὰ λ. ε. . . εἰσὶ κδ. et sic E.
88 τὸ] τὰ E.

δὲ καὶ τούτοις Ἀρχίλοχος κέχρηται· πῆ μὲν γὰρ ἐποίησεν ἔκ τε ἀναπαιστικοῦ ἑφθημιμεροῦς καὶ τροχαϊκοῦ ἡμιολίου, τοῦ καλουμένου ἰθυφαλλικοῦ,

Ἐρασμονίδη Χαρίλαε, χρῆμά τοι γελοῖον.

2 Τοῦτο δὲ οἱ μετ' αὐτὸν οὐχ ὁμοίως αὐτῷ ἔγραψαν· οὗτος μὲν γὰρ τῇ τε τομῇ δι' [x]ὅλου κέχρηται τοῦ ἑφθημιμέρους, καὶ σπονδείους παρέλαβεν ἐν τῷ ἀναπαιστικῷ [y]κώλῳ, οἷον,

Ἀστῶν δ' οἱ μὲν κατόπισθεν [z]ἦσαν· οἱ δὲ πολλοί.

οἱ δὲ μετ' αὐτὸν τῇ μὲν τομῇ ἀδιαφόρως ἐχρήσαντο, ὥσπερ [a]Κρατῖνος, [fr. inc. 51.]

χαῖρ', ὦ μέγ' [b]ἀχρειόγελως [c]ὅμιλε, ταῖς ἐπίβδαις,
τῆς ἡμετέρας σοφίας κριτὴς ἄριστε πάντων,
εὐδαίμον' [d]ἔτικτέ σε μήτηρ ἰκρίων ψόφησις.

[x] ὅλου] ὅλου (ου supra) P. Mox τοῦ om. E.

[y] κώλῳ] Sic S. Turn. κύκλῳ F. N.H.B. κόλῳ C. tum δύο Turn. quod deest Fl. et ni fallor MSS. certe P.S.N. κύκλῳ absque δύο E. pro v. l.

[z] ἦσαν] ᾖσαν Meineke.

[a] Κρατῖνος ἐν τοῖς τοιούτοις E. Turn. unde ἐν τοῖς Πλούτοις effecit Meinekius.

[b] χαῖρ', ὦ μέγ' ἀχρειόγελως] Χαῖρ' ὦ μέγα Χρειογέλως ὁμιλετὴς ἐπίβδαις Turn. ἀχρειόγελος ὁ μῖταῖς Fl. ὁμιλετεῖν C. ὁμῖλεταῖς P. Suidas ad hunc locum fortasse respiciens, Ἀχρειόγελως ἄνθρωπος· ὁ ἐπὶ τοῖς ἀχρήστοις καὶ μὴ σπουδαίοις γελῶν καὶ χαίρων. Loquendi ratio defluxit ex Od. σ'. 162. ἀχρεῖον δ' ἐγέλασσεν. De ἐπίβδαις vide Ruhnkenium ad Timæum p. 119, 120.

[c] ὅμιλε] ὅμιλος usitata notione accipiendum. *Salve multum ridicule cœtus.* *Cœtus* hic omnes spectatores notat. ὁ ὅμιλος est ὁ δῆμος. ὁ ὅμιλος δημότης alicubi vocatur in Aristophane (Pac. 919). Hæc Canterus tribuebat juniori Cratino. D'ORVILL.

[d] ἔκτισε τε—ψόφησιν Fl. μετ' αὐτὸν Ἀρχίλοχον Turn.

3. [89]ἡμιολίου] Ἡμιόλιον εἶπε τοὺς τρεῖς ἁπλοῦς πόδας, ἤγουν τὸ ἥμισυ τοῦ τριμέτρου.

6. ἑφθημιμεροῦς] Ἑφθημιμερές ἐστι τὸ ἀπαρτίζον τὸ τοῦ λόγου μέρος μετὰ τρεῖς ἁπλοῦς πόδας καὶ συλλαβήν.

10. οἱ δὲ μετ' αὐτὸν] Ὅ ἐστιν οὐκ εἰς τὸ ἑφθημιμερὲς τὸ μέρος τοῦ λόγου ἀπαρτίζοντες, ἀλλ' ἢ πρὸ, ἢ μετά· οἷον πρὸ τοῦ λῆξαι εἰς μέρος λόγου ἐγίνετο ἑφθημιμερές.

14. εὐδαίμον'] Εὐδαίμον' ἔτικτε, σπονδεῖος, ἀνάπαιστος· ἡ κτε συλλαβὴ μὴ λήγουσα εἰς μέρος λόγου· ἴαμβος, τροχαῖος, ἴαμβος.

89 ἡμιολίου] Hinc usque ad ἐγίνετο ἑφθημιμερὲς om. E.

ἐνταῦθα γὰρ ὁμοίως [e]τὸ τρίτον [f]τέτμηται τοῖς Ἀρχιλο-
3 χείοις, τὰ δὲ πρὸ αὐτοῦ δύο, πρὸ συλλαβῆς. Καὶ μέντοι καὶ τοὺς σπονδείους παρῃτήσαντο τοὺς ἐν τῷ μέσῳ οἱ μετὰ τὸν Ἀρχίλοχον, οὐχ ὡς ἀναπαιστικὸν ἡγούμενοι, ἀλλὰ [g]ΠΡΟΣΟΔΙΑΚΟ͂Ν, τὸ ἐξ ἰωνικῆς καὶ χοριαμβικῆς, τῆς ἰωνικῆς καὶ βραχεῖαν τὴν πρώτην δεχομένης. Δύναται δὲ καὶ εἰς [h]τρίτον ἀνάπαιστον διαιρεῖσθαι εἰ ἀπὸ [i]σπονδείων ἄρχοιτο, οἷον τὸ Σαπφοῦς, (Ursin. p. 7. Bergk. n. 81.)

αὐτὰ δέ συ Καλλιόπα.

Τοῦ προσοδιακοῦ [k]ἓν καὶ τοῦτο εἶδος, τὸ ἐξ ἰωνικοῦ καὶ χοριαμβικοῦ συγκείμενον.

[e] τὸ τρίτον] Sic Fl. et MSS. τρίμετρον Turn. τρίτον μέτρον conjicit Tyrwhittus.

[f] τέτμηται] τετίμηται E. pr.

[g] ΠΡΟΣΟΔΙΑΚΟ͂Ν] προσῳδιακὸν Fl. E. ex em. Schol. Aristoph. Ran. 210. ὃ καλεῖται προσῳδιακὸν, διὰ τὸ τὸν πρῶτον ἔχειν πόδα Ἰωνικὸν ἀπὸ μείζονος. Vid. Schol. Aristoph. Nub. 651. et notam Hermanni.

[h] τρίμετρον ἀνάπαιστον T. E. pr. τρίτον ἀνάπαιστον Fl. N.H.B.P.S. E. em.

ib. Nullus dubito quin scriptum fuerit εἰς Γ. ἀναπαίστους atque ex γ litera numerali τρίμετρον et τρίτον orta esse. Auctor vult, Prosodiacum ex Ionico a majore et Choriambica dipodia posse dividi in anapæsticum e spondeo et duobus anapæstis,

αὐτὰ-δὲ σὺ Καλ-λιόπα.

HOTCHKIS. Hotchkisii conjectura non opus esse censet Hermannus.

[i] σπονδείου Turn.

[k] ἓν καὶ] ὂν καὶ Hermannus.

1. ἐνταῦθα] Ἐνταῦθα γὰρ ὁμοίως, ὡς ἐν τῷ ἐφθημιμερεῖ, ἀπήρτισται τὸ τοῦ λόγου μέρος· ἐν δὲ [90]τῇ πρὸ αὐτοῦ [91]πρὸ συλλαβῆς τοῦ ἐφθημιμεροῦς ἡ τομὴ τοῦ μέρους τοῦ λόγου γέγονε.

5. τὸ δὲ προσοδιακὸν μέτρον ἐλέγετο ἐν ταῖς πανηγύρεσι καὶ εὐχαῖς· συνέστηκε δὲ ἐξ ἰωνικοῦ τοῦ ἀπὸ μείζονος καὶ χοριαμβικοῦ. E.

6. Δύναται δὲ καὶ εἰς τρίμετρον] Οἷον, ὡς ἀναπαιστικὸν, τρεῖς ἔχειν ἀναπαίστους· καὶ ὁ πρῶτος σπονδεῖος δυνάμει ἀνάπαιστός ἐστι, καὶ ὁ [92]ἔξω πάλιν ἐν τῷ αὐτῷ, ὡς συνέμπτωσιν εἶναι τῷ προσοδιακῷ πρὸς ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον, τὸ, αὐτὰ δὲ σὺ Καλλίοπα· [93]δύναται δὲ καὶ ὁ πρῶτος ἰωνικὸς ἀπὸ μείζονος εἶναι, ἐὰν ποδισθῇ οὕτως, αὐτὰ δὲ σὺ, καὶ ἑξῆς χορίαμβος, ὅπερ ἐστὶ προσοδιακόν.

9. αὐτὰ] Δύο συλλαβαί. τὸ αὐτὰ δὲ σὺ καλλιόπα δύναται εἶναι σπονδεῖος, καὶ ὁ δεύτερος ἀνάπαιστος· δύναται δὲ καὶ ἰωνικὸς ἀπὸ μείζονος ὁ πρῶτος, καὶ ὁ δεύτερος χορίαμβος.

10. τοῦ προσοδιακοῦ] Ἔσθ' ὅτε γὰρ καὶ τὰς ἰαμβικὰς [94]ἐπιμιγνύουσι ταῖς

90 τοῖς Pauwius.

91 πρὸ συλλαβῆς] π̅ρ̅ο̅ συλλαβῆ E.

92 ἑξῆς vel οἱ ἑξῆς Pauwius.

93 Sic Pauwius. δύναται δὲ τὸ κα Turn. δύναται δὲ τοῦ κᾶ ἰωνικοῦ E.

94 ἐπιμιγνύουσι] ἐπιμίγνυσι E.

4 Τὸ τοίνυν ἀναπαιστικὸν εἴ τις οὕτω [l]διαιροῖτο, εὑρήσει τῷ προσοδιακῷ ἐφαρμόζον. Ἐὰν μὲν γὰρ σπονδεῖον ἔχῃ [m]τὸν πρῶτον τοὺς δὲ ἑξῆς ἀναπαίστους, τὰς τοῦ δευτέρου ἀναπαίστου δύο βραχείας [n]προσθεὶς τῷ σπονδείῳ [o]ποιήσεις ἰωνικὸν ἀπὸ μείζονος, [p]οἷς ἑξῆς χορίαμβος.

5 Δύναται δὲ [q]κἂν ἀπὸ ἀναπαίστου κἂν ἀπὸ δακτύλου

[l] διαιροῖτο] Sic Turn. E.S. et C. ex emend. διαιρεῖ Fl. B.N.H.C. a p. m. διαιρεῖτο P.

[m] τὸν πρῶτον] τὸ πρῶτον P.

[n] προτιθεὶς] Sic Fl. προσθεὶς C. Turn. P.E. pr. S.

[o] ποιήσει] ποιήσεις C. Turn. P.E. pr.

[p] οἷς ἑξῆς χορίαμβος] Sic C. οἷς ἑξῆς χορίαμβον Fl. H.P.S.E. em. οἷον ἑξῆς χοριαμβικὸν Turn. E. pr. Aliquando conjeci ὄντος ἑξῆς χοριάμβου: sic infra s. 5. τοῦ ἑξῆς χοριάμβου γενομένου, et s. 6. ἑξῆς ὄντων δύο σπονδείων. Dobræus καὶ τὸν ἑξῆς χορίαμβον.

[q] κἂν] καὶ C.P.S.

κατειλεγμέναις συζυγίαις, τῇ τε ἰωνικῇ καὶ τῇ χοριαμβικῇ, πάλιν προσοδιακὸν καλοῦντες, ὥσπερ Εὔπολις ἐν ταῖς Πόλεσιν· [Fr. 23.]

Ὦ δέσποτα, καὶ τάδε νῦν ἄκουσον [95]ἅ'ν λέγω σοι.

ἐφθημιμερὲς γὰρ ἰαμβικὸν τῷ προσοδιακῷ τῷ καθαρῷ ἐπιμέμικται, καὶ προσοδιακὸν ὁμοίως καλεῖται. Ἰστέον δὲ ὅτι τὸ προσοδιακὸν δέχεται ἰωνικὸν ἀπὸ μείζονος, παίωνα δεύτερον, ἢ μολοττὸν, καὶ χορίαμβον, ὅπερ ἀποβολῇ τοῦ πρώτου ποδὸς ποιεῖ ἀναπαιστικὸν τὸ ἑξῆς. **τοὺς δὲ ἑξῆς ἀναπαίστους** *βούλεται δεῖξαι τὸν ἀνάπαιστον ᾠκειωμένον τῷ τοιούτῳ προσοδιακῷ. Ἐπεὶ γὰρ τὸ προσοδιακὸν σύγκειται ἐξ ἰωνικοῦ ἀπὸ μείζονος καὶ χοριαμβικοῦ, φησὶν ὅτι ἐὰν ᾖ ὁ πρῶτος ποὺς σπονδεῖος οἱ δὲ ἑξῆς ἀνάπαιστοι, προστίθημι τὰς δύο βραχείας τοῦ ἀναπαίστου τῷ σπονδείῳ, καὶ γίνεται ἰωνικὸν ἀπὸ μείζονος ἐκ δύο μακρῶν καὶ δύο βραχειῶν, καὶ λοιπὸν ὁ ἑξῆς εὑρίσκεται χορίαμβος, ἔκ τε τῆς μακρᾶς τῆς καταλειφθείσης τοῦ πρώτου ἀναπαίστου καὶ ἐκ τῶν δύο βραχειῶν καὶ τῆς μακρᾶς τοῦ δευτέρου ἀναπαίστου.*

7. *κἂν ἀπὸ δακτύλου]* **Καὶ** *πάλιν ἐπειδὴ λύσις τοῦ σπονδείου ἐστὶ δάκτυλος καὶ ἀνάπαιστος, ἐὰν ἐν ἀρχῇ τεθῇ ὁ δάκτυλος, τῶν ἑξῆς ὄντων ἀναπαίστων, τὸ αὐτὸ γίνεται· οἷόν ἐστιν ὁ δάκτυλος ἐκ μακρᾶς καὶ δύο βραχειῶν. Γίνεται οὖν ὁ πρῶτος ἰωνικὸς, [96]τῆς δευτέρας συλλαβῆς λελυμένης, ἐκ μακρᾶς καὶ τεσσάρων βραχειῶν τῶν δύο τοῦ αὐτοῦ, καὶ τῶν δύο τοῦ ἀναπαίστου, καὶ γίνεται πρῶτος παίων· λοιπὸν ὁ ἑξῆς εὑρίσκεται χορίαμβος, ἐκ τῆς μακρᾶς τῆς μεινάσης τοῦ ἀναπαίστου καὶ ἐκ τοῦ ἄλλου ἀναπαίστου. Πάλιν, ἐὰν ἐν τῇ ἀρχῇ ᾖ ὁ ἀνάπαιστος, γίνεται ἰωνικὸς, ἔχων τὴν πρώτην λελυμένην μακρὰν, καὶ*

[95] ἅ'ν λέγω] Sic proculdubio corrigendum est, quod et me monuit Dobræus. ἃ λέγω Turn. E. Particula ἂν alias nonnunquam a librariis omittitur. Sic in versu Euripidis Suppl. 736. ubi edd. recte habent 'ἂν σὺ τυγχάνῃς, Plutarchus II. 1056 C. quomodo fere Diogenes Laërt. IX. 71. et Suidas v. Πυρρώνειοι, citat ἃ σὺ τυγχάνεις. Vide Valcken. ad Eurip. Phœn. p. 553.

[96] δευτέρας συλλαβῆς λελυμένης] τὴν δευτέραν συλλαβὴν λελυμένην ἐκ δύο μακρῶν καὶ E.

ἄρχηται τὸ ἀναπαιστικὸν ὡς ἰωνικὸν λελυμένον παραλαμβάνεσθαι, [r]τοῦ ἑξῆς χοριάμβου γενομένου· διὰ τοῦτο καὶ ἀπὸ ἰάμβου ἄρχονται ἐν τῷ ἀναπαιστικῷ, ὥσπερ Ἀρχίλοχος ἐν τῷ,

[s]Ἐρασμονίδη Χαρίλαε.

ὡς δυναμένου καὶ τοῦ παίωνος δευτέρου ἀντὶ ἰωνικοῦ τοῦ ἀπὸ μείζονος παραλαμβάνεσθαι, ἵνα μὴ ἀπεοικὸς τῷ
6 προσοδιακῷ γένηται τὸ ἀναπαιστικόν. Παραιτοῦνται τοίνυν τοὺς ἐν μέσῳ σπονδείους, ἵνα μὴ ἀλλότριον γένηται τὸ ἀναπαιστικὸν τοῦ προσοδιακοῦ, ὅπερ ἐστὶν ἐξ [t]ἰωνικοῦ καὶ χοριαμβικοῦ· δύναται δέ τις βιαζόμενος καὶ ἑξῆς ὄντων δύο σπονδείων, ὡς παρ' Ἀρχιλόχῳ,

ἀστῶν δ' οἱ μὲν κατόπισθεν

[u]τὸν πρῶτον σπονδεῖον [x]καὶ τὴν (πρώτην) τοῦ δευτέρου

[r] τοῦ δὲ ἑξῆς χοριάμβου γινομένου] Sic Fl. N.H.B. in N. tamen δὲ deest. τῶν ἑξῆς χοριάμβων (γινομένων P.S.) γενομένων C.P.S. sed τῶν om. Turn. E.

[s] Ἑρμονίδη Fl. B.H.

[t] ἰωνικοῦ Fl. et MSS. ἰαμβικοῦ Turn. E.

[u] τὸν—ποιήσας] Ita Fl. B.H. D.E. em. et sic fere Turn. ad calcem. τὸν ἀνάπαιστον μολοσσὸν ποιήσας Turn. C.P.E. pr. S. et mox αὐτῶν. S. in marg. ἤγουν τὸν ᾱ σπονδεῖον καὶ τὴν τοῦ βτέρου συλλαβήν.

ib. τὸν πρῶτον] Ita Fl. nempe Ἀστῶν δ' οἱ essent molossus, atque μὲν κατόπισ Choriambus. Sed Ionicus eam contractionem in molossum minime recipiet. Turnebus hæc pejus τὸν ἀνάπαιστον μολοσσὸν ποιήσας. HOTCHKIS.

[x] καὶ τὴν τοῦ] καὶ τὴν πρώτην τοῦ Hermannus.

γίνεται δεύτερος παίων, καὶ ὁ ἑξῆς χορίαμβος ἐκ τῆς μεινάσης μακρᾶς καὶ τοῦ ἀναπαίστου. Διὸ καὶ ἀπὸ ἰάμβου ἄρχονται ἐστὶν ὅτε· ἐπεὶ συγγενὴς ὁ ἴαμβος τῷ ἀναπαίστῳ. Ἐὰν γὰρ λάβωμεν στίχον ἔχοντα τομὴν ἐφθημιμερῆ εἰς μέρος λόγου λήγουσαν, τὸ μετ' αὐτὸ ἰαμβικὸν εὑρίσκεται, καὶ λοιπὸν ἀνάπαιστοι ἐξ αὐτοῦ· οἷον,

καὶ τόν δ' ἀπαμειβόμενος προσ-
έφη πόδας ὠκὺς Ἀχιλλεύς.

λοιπὸν τὸ ἔφη, ἴαμβος· τὸ δὲ **πόδας** ὠ ἀνάπαιστος· καὶ **κυς ἀχιλλεύς** ἀνάπαιστος καὶ συλλαβή· δύναται δὲ καὶ ἀπὸ ἀναπαίστου, ἵνα εἰ μὲν ἀνάπαιστοι εἴησαν αἱ πρῶται δύο βραχεῖαι, ὥσπερ ἐκ τοῦ ἰωνικοῦ διαλελυμέναι· ἐὰν δὲ ἀπὸ δακτύλου, πάλιν αἱ μετὰ τὴν μακρὰν δύο βραχεῖαι, ὡς τοῦ ἰωνικοῦ διαλελυμένου, καὶ ἡ συζυγία πεντασύλλαβος λαμβάνεται.

11. δύναται δέ τις] Δύναται, φησὶ, τὶς βιάσασθαι καὶ προσοδιακὸν ποιῆσαι, ὄντων τῶν δύο ἑξῆς σπονδείων, **Ἀστῶν οἱ μὲν κατόπισθεν**, ἄχρι δύο σπον-

συλλαβὴν μολοσσὸν ποιήσας, καὶ λαβὼν αὐτὸν ἀντὶ ἰωνικοῦ τοῦ ἀπὸ μείζονος, τὸν ἑξῆς χορίαμβον ποιῆσαι· εἰ μὴ ἄρα ἐν τῷ προσοδιακῷ ἡ συναίρεσις τοῦ ἰωνικοῦ, τοῦτ' ἔστιν ὁ μολοσσὸς, [y] μὴ [z] ἐμπίπτοι.

7 Ὑπονοήσειε δ' ἄν τις καὶ τρίτην διαφορὰν εἶναι τῷ Ἀρχιλόχῳ πρὸς τοὺς μετ' αὐτὸν, καθ' ἣν ἀναπαίστῳ δοκεῖ τῷ πρώτῳ χρῆσθαι, [80—83 Bergk.]

Ἐρέω πολὺ φίλταθ' ἑταίρων, τέρψεαι δ' ἀκούων.
φιλέειν στυγνόν περ ἐόντα, μηδὲ διαλέγεσθαι.

ᾧ οὐκ ἐχρήσαντο ἐκεῖνοι· φαίνεται δ' οὐδ' αὐτὸς κεχρημένος, δύναται γὰρ ἀμφότερα κατὰ συνεκφώνησιν εἰς
8 ἴαμβον περιΐστασθαι. Ἡ δὲ [a] τοῦ ἀναπαίστου φαντασία γέγονε διὰ τὴν ἰωνικὴν ἐν ἑκατέρῳ διαίρεσιν· ὥστε τὰς προειρημένας δύο μόνας διαφορὰς εἶναι τοῖς νεωτέροις πρὸς τὸν ἰαμβοποιὸν Ἀρχίλοχον. Κρατῖνος δὲ ὅταν λέγῃ ἐν τοῖς [b] Ἀρχιλόχοις, [Fr. 9.]

[y] μὴ] εἰ μὴ P.
[z] ἐμπίπτοι] ἐμπίπτῃ (οι) E.
[a] τοῦ ἀναπαίστου φαντασία] φαντασία τοῦ ἀναπαίστου E. φ. τ. ἀνάπαιστον P.S. ἀναπαιστικοῦ C. mox γεγονέναι Fl. N.H. quod ortum ex γεγοναι (νε). Sic P. Infra λέγοι Fl.
[b] Ἀρχιλόχοις] De titulo hujus fabulæ vide Casaubonum ad Athenæum III. 9. Menagium ad Laërt. I. 12. Hanc vocem Hesychio v. εὕδοντι admodum probabiliter restituit Sopingius. De fragmento seqnente adi Sopingium ad Hesych. v. ἐράσμιον. De voce ἀωρολείων, præter Suidam,

δείων, ἀστῶν δ' οἱ μὲν κατόπισθεν, καὶ ἀνάπαιστον, καὶ τὴν συλλαβὴν τοῦ ἐφθημιμεροῦς, ἵνα ποιήσωμεν τὸν ἀνάπαιστον μολοσσὸν, ἐκ τριῶν μακρῶν, καὶ λάβωμεν αὐτὸν ἀντὶ ἰωνικοῦ τοῦ ἀπὸ μείζονος· συναίρεσις γὰρ αὐτοῦ ἐστί· καὶ λοιπὸν γίνεται ὁ ἑξῆς χορίαμβος. Χορίαμβός ἐστι, τὸ μὲν κατόπισθ. Ἀλλ' οὐ τῷ προσοδιακῷ ἐμπίπτει ἡ συναίρεσις τοῦ ἰωνικοῦ, τοῦτ' ἔστιν ὁ μολοσσὸς, διὸ εἶπε, βιαζόμενος.

5. τρίτην διαφορὰν εἶναι] Οἱ γὰρ ἄλλοι οὐδέποτε τὸν πρῶτον ἀνάπαιστον παραλαμβάνουσι, βουλόμενοι τὸ προσοδιακὸν εἶναι, καὶ 97 εἰ ἰαμβικὸν λαμβάνουσι, τὸν δεύτερον παίωνα ποιοῦντες, ἢ σπονδεῖον, τὸν ἰωνικὸν ἀπὸ μείζονος ποιοῦντες.

15. πρὸς τὸν ἰαμβοποιὸν] Τρίτον γὰρ πεποίηκεν ἴαμβον ὁ Κρατῖνος, καὶ οὐκέτι συμφωνεῖ αὐτῷ τὸ προσοδιακὸν, ὅπερ ἐστὶν ἐν τῷ Ἀρχιλοχείῳ. Δοκῶν οὖν τοῦτο μιμεῖσθαι, ἔλαθε μιμησάμενος. τῶν ἀωρύλλειων. Ἀωρύλλειοι· οἱ ἔξω ἤδη ὥρας λειούμενοι, οἷον ἐν γήρᾳ καλλωπιζόμενοι.

97 εἰ] ἢ E.

Ἐρασμονίδη Βάθιππε τῶν ἀωρολείων,

τοῦτο τὸ μέτρον ἀγνοεῖ, ὅτι [c] οὐκ ἄντικρυς μιμεῖται τοῦ Ἀρχιλόχου τὸν [d] Ἐρασμονίδη.

9 [a] Ἓν μὲν δὴ τοῦτο τῶν παρ' Ἀρχιλόχῳ ἀσυναρτήτων. [b] Ἄλλο δὲ, τὸ ἐκ δακτυλικῆς τετραποδίας, καὶ τοῦ αὐτοῦ ἰθυφαλλικοῦ, [[e] οἷόν ἐστι τὸ τοιοῦτον, Fr. 98. Bergk.]

Οὐκ ἔθ' ὁμᾶς θάλλεις ἁπαλὸν χρόα, κάρφεται γὰρ ἤδη.

γίνεται δὲ ὁ τελευταῖος τῆς τετραποδίας διὰ τὴν ἐπὶ τέλους ἀδιάφορον καὶ κρητικὸς, [οἷόν ἐστιν οὗτος,] [Archil. fr. 105.]

καὶ βήσσας ὀρέων δυσπαιπάλους οἷος ἦν [f] ἐπ' ἥβης.

10 Τοῦτο [g] παρὰ τοῖς νεωτέροις πολὺ τὸ μέτρον ἐστὶν, ὥσπερ καὶ παρὰ Καλλιμάχῳ, (Fr. cxci.)

[h] τόν με [i] παλαιστρίταν ὁμόσας θεὸν ἑπτάκις φιλήσειν.

παρὰ δὲ Κρατίνῳ ἐν τοῖς [k] Σεριφίοις οὐκέτι ἀκατάληκτόν

conf. Casaubonum ad Sueton. I. 47. et Toupium Add. Theocr. V. 90. Ad calcem Turnebi alia commemoratur lectio ἀωρυλλείων, quam habet quoque Scholiastes.

[c] οὐκ ἄντικρυς] Hoc est, ut Hermanni verbis utar, "pro dactylico ordine logaœdicum adhibuit," vel ad nostri rationes magis accommodate, iambum pro anapæsto in sedem tertiam introduxit.

[d] Ἐρασμονίδη] Ἐρασμονίδην P.E. C. Fl.

[e] οἷόν ἐστι τὸ τοιοῦτον desunt Fl. et MSS. plerisque et mox οἷόν ἐστιν οὗτος.

[f] ἐφ' ἥβης] ἐπ' ἥβης Fl. E. fr. οἷον—ἐπήβης C.P.S.

[g] παρὰ μὲν τ. E. Turn καὶ deest Turn.

[h] De hoc Callimachi loco agit Valckenærius in Dissertatione de Aristobulo p. 125.

[i] παλαιστρίταν] παλαιστρήταν E. Fl.

[k] Σεριφίοις] Edd. et ni fallor MSS. Σερίφοις habent. περίφοις (σ supra) P. Sed alteram lectionem prætulere Viri doctissimi ad Pollucem VII. 69. X. 156. cum Photio et Etymologo M. p. 751, 5. In versu Cratini πολυβώτου ποντίας Σερίφου emendat Hemsterhusius ad posteriorem Pollucis locum, sine necessitate, ut vidit Pauwius. Mox pro ποντίαν Fl. male habet παντοίαν. In C. πάντα θεοὶ οἱ πολύβρωτον ποντίαν.

5. τὸ ἐκ δακτυλικῆς τετραποδίας] Τὸ ἐκ τεσσάρων δακτύλων καὶ τριῶν τροχαίων.

8. ὁ τελευταῖος] Γίνεται δὲ ὁ τελευταῖος ὥσπερ ἐν τέλει [98] στίχου· στίχος γὰρ δοκεῖ εἶναι, εἴ γε δύο [99] συνηρημέναι εἰσί· καὶ μακρὰ πολλάκις ἀντὶ βραχείας παραλαμβάνεται.

98 Sic Pauwius: erat στίχος· στίχον.

99 συνειρημέναι] συνηρημέναι E.

ἐστι τὸ δακτυλικὸν τὸ ἡγούμενον τοῦ ἰθυφαλλικοῦ, ἀλλὰ καταληκτικὸν εἰς δισύλλαβον, [Fr. 6.]

χαίρετε [l]*πάντες ὅσοι πολύβωτον ποντίαν Σέριφον—*

11 *Τρίτον δέ ἐστι παρ' Ἀρχιλόχῳ ἀσυνάρτητον ἐκ δακτυλικοῦ πενθημιμεροῦς καὶ ἰαμβικοῦ διμέτρου ἀκαταλήκτου,* [Fr. 85.]

ἀλλά μ' ὁ [m]*λυσιμελὴς, ὦ 'ταῖρε, δάμναται πόθος.*

12 *Ἔνδοξόν ἐστι* [n]*καὶ ἐπισύνθετον, καὶ τὸ διπενθημιμερὲς, τὸ* ἐγκωμιολογικὸν *καλούμενον, ὅπερ ἐστὶν ἐκ δακτυλικοῦ πενθημιμεροῦς καὶ ἰαμβικοῦ τοῦ ἴσου, ᾧ κέχρηται μὲν* [o]*καὶ Ἀλκαῖος ἐν ᾄσματι, οὗ ἡ ἀρχὴ,* (Ursin. p. 104. Bergk. 94.)

Ἦ ῥ' ἔτι [p]*Δινομένῃ τῷ Τυρρακήῳ*
τἄρμενα λαμπρὰ κέατ' ἐν μυρσινήῳ.

[l] *πάντες θεοὶ*] Vere proculdubio Dobræus ad Aristoph. Eq. 32. p. (126. 127.) *πάντες ὅσοι.* Similiter Bekkerus in Addend. ad Dinarchi Or. II. p. 216, §. 21. pro *θείαν* reposuit *ὁσίαν.* In Porphyrio Stobæi Ecl. Phys. p. 716. Heerenius scite correxit *ὅσα* pro *θέα.* Plura hujusmodi collegit Cobetus in Diario Batavo cui titulus *Mnemosyne* T. II. p. 396 sq.

[m] *λυσιτελὴς* MSS. *πάθος* Turn.

[n] *καὶ* om. Turn. et mox *ἐστὶν* Fl. H.B.

[o] *καὶ* om. Turn. et mox *ᾄσμασιν* dat Fl.

[p] *διννομένη τῷ τυρράκκω* Fl. H.B. *διννομένη τῶ τυρρακήω* C. P. E. S. *μυρσίνῳ* Fl. C.B. *μυρσήννω* P. *μυρσίννω* D. E. S. Bentleius in Epistola ad medicum celeberrimum Ricardum Mead. p. 588. ed. Wordsworth. "*ι in ηιον may* "*be either pronounced and make* "*a syllable, or be adjunctum,* "(*that is, ἰῶτα subscriptum,*) *in* "*the Æolian manner; as I re*"*member these two verses of Sap*"*pho* (sic) *in Hephæstion.*" Deinde citat nostri verba prout in textu leguntur. In notulis MSS. idem indicavit corruptum Athenæi locum XI. p. 460 D. *Ἀλκαῖος· Ἐκ δὲ ποτηρίων πώνης διννομένη παρίσδων.* MS. habet *παρίσδωνι.* Hemsterhusius: "An *τῷ Τυρρα*"*κήω, filio Tyrracæi?*"

4. *ἀσυνάρτητον*] [1]*Τρία εἴδη ἀσυναρτήτων· ἐκ δύο δακτύλων, καὶ συλλαβῆς, καὶ δύο ἰάμβων.*

8. *Ἔνδοξόν ἐστιν ἐπισύνθετον*] *Ἐπισύνθετον δὲ, τὸ ἐκ διαφόρων ποδῶν συγκείμενον ἀσυμφώνων ἀλλήλοις κατὰ τὴν ποσότητα δισυλλάβων καὶ τρισυλλάβων.*

[1] Corrigit Pauwius *τρίτον εἶδος ἁ. ἑ. δ. δ. κ. σ. καὶ δ.* h. e. *τεσσάρων ἰάμβων.*

[q] *κέχρηται δὲ καὶ Ἀνακρέων ἐν πλείοσιν ᾄσμασιν,* [Fr. 70.]

> [r] *Ὀρσόλοπος μὲν Ἄρης φιλέει μεναιχμάν.*

13 Τὸ δὲ ἀντεστραμμένον τούτῳ ἰαμβέλεγος καλεῖται· [s] *τούτῳ δὲ ἐν συνεχείᾳ οὐκ ἴσμεν τινὰ κεχρημένον, διεσπαρμένως δέ·*

> *πρῶτον μὲν εὔβουλον Θέμιν οὐρανίαν.*
> [t] *κείνων λυθέντων σαῖς ὑπὸ χερσὶν ἄναξ.*

14 Γίνεται δὲ καὶ τριπενθημιμερὲς ἐκ τούτων, τὸ καλούμενον Πλατωνικὸν, ἐν ᾧ τὰ μὲν ἑκατέρωθεν δύο [u] δακτυλικά εἰσι πενθημιμερῆ, τὸ δὲ μέσον, ἰαμβικόν· κέχρηται δὲ αὐτῷ Πλάτων ἐν Ξαντρίαις,

> *χαῖρε παλαιογόνων ἀνδρῶν θεατῶν [x] ξύλλογε παντοσόφων.*

[q] *κέχρηται—ᾄσμασιν* om. D.

[r] *Ὀρσόλοπος*] Sic C.P. et codex Etymologi D'Orvillianus p. 634, 11. quemadmodum recte edidit Barnesius. *ὀρσόλεπος* Fl. H. S. *ὀρσόλεπτος* B. *ὅρσ' ὁ λέπος* E. *ὀρσ' ὀλέπος* Turn. *φιλέειν* Fl. H.B.S. *μὲν αἰχμὰν* Edd. MSS. *μεναιχμήν* vult Pauwius, alterum D'Orvillius.

[s] *τοῦτο* Turn. S.

[t] *κείνων*] Recte, ut videtur, inter Pindaricorum carminum fragmenta n. LXVII. edidit Schneiderus. Fr. 10. Boeck. Priorem versum Pindaro diserte tribuit Clemens Alexand. Strom. VI. p. 731. (Fr. C.) Fr. 6. Boeck. Tum *λυθέντες* C.

[u] Pro *δακτυλικὰ* C.P. habent *πλατωνικά*. Fabulæ Platonicæ epigraphen eodem plane, quo hic exhibetur, modo scriptam allegat, auctoris licet nomine omisso, Etymologus M. p. 595, 40. *τῶνδε βούλευτις πόνων· ἐν ταῖς Ξαντρίαις*. In p. 755, 43. MS. D'Orvillianus præstat *Πλάτων ξτ* (i. e. *ξάνταις*) *ἣν δὴ θόρμος τευταζόντων*. Suidas etiam *ξάνταις* vv. *Πλάτων*. *τευτάζειν*. Adde Eudociam Villoisoni v. *Πλάτων*. Vid. Meineke Fr. Com. T. II. p. 646. Hermannus locum ab Etymol. p. 595, 40. citatum Æschylo tribuit Fr. n. 179.

[x] *ξύλλογον* N. *πανσόφων* C.P.

4. *ἀντεστραμμένον*] Τὸ δὲ ἀντεστραμμένον, τὸ μὲν πρῶτον ἐκ τοῦ ποσοῦ ἐκλήθη, τὸ δὲ δεύτερον τὸ ἰαμβέλεγος ἐκ τοῦ ποιοῦ· τοῦτο δὲ ἐν συνεχείᾳ. Τὸ πρῶτον γάρ ἐστιν ἐκ δύο ἰάμβων καὶ συλλαβῆς· τὸ δὲ δεύτερον ἐκ δύο δακτύλων καὶ [2] συλλαβῆς μιᾶς· τὸ δὲ τρίτον, δύο ἴαμβοι καὶ [3] συλλαβή, ὡς καὶ τύπος ἅπας, τέσσαρες ἴαμβοι καὶ δύο συλλαβαὶ καὶ τέσσαρες δάκτυλοι καὶ [4] δύο συλλαβαί. Τὸ μὲν β διπλάσιον. Εἰ γὰρ ἐκ δισυλλάβου εἴη, οὐ δυνατόν· τὸ γὰρ δεύτερον μέρος πάντως δισυλλάβους αἰτεῖ.

2 *συλλαβῆς μιᾶς*] *συλλαβὴ μιὰ* E. Ibid. mox *δὲ* om.

3 *συλλαβή*] Addit E. *καὶ πάλιν δύο δάκτυλοι καὶ συλλαβή*.

4 *δύο συλλαβαὶ*] *γρ. καὶ συλλαβὴ* E. suprasc. Mox E. *τοὺς δισυλλάβους*.

15 Ἀντεστραμμένον δέ ἐστι τούτῳ τὸ Πινδαρικὸν καλούμενον, (Fr. 78. Schneid. 9 Boeck.)

ὃς καὶ [y] τυπεὶς ἁγνῷ πελέκει τέκετο ξανθὰν Ἀθάναν.
[z] σοφοὶ δὲ καὶ τὸ μηδὲν ἄγαν ἔπος αἴνησαν περισσῶς.

16 Τοῦ δὲ [a] δακτυλικοῦ πενθημιμεροῦς δὶς λαμβανομένου γίνεται τὸ ἐλεγεῖον· ἀλλὰ τὸ μὲν δεύτερον αὐτοῦ μέρος ἑπτασύλλαβον ἀεὶ μένει, ἐκ δύο δακτύλων καὶ συλλαβῆς, τὸ δὲ πρότερον κινουμένους ἔχει τοὺς [b] δύο πόδας, ὥστε ἢ δακτύλους αὐτοὺς γίνεσθαι ἢ σπονδείους, ἢ τὸν μὲν [c] πρῶτον δάκτυλον, τὸν δὲ δεύτερον σπονδεῖον· ἢ ἀνάπαλιν, τὸν μὲν πρῶτον σπονδεῖον, τὸν δὲ δεύτερον δάκτυλον. Παρ' ἣν αἰτίαν, τὸ μὲν δεύτερον ἀεὶ διπλασιαζόμενον [d] τὴν ἐλεγείαν ποιεῖ· [e] τὸ δὲ πρότερον οὐκέτι, ἐὰν μὴ ἐκ δύο [f] δακτύλων συνεστήκῃ· οἷον,

[g] Νηΐδες οἳ Μούσης οὐκ ἐγένοντο, φίλοι.

τὸ μὲν δεύτερον διπλασιασθὲν ποιεῖ ἐλεγείαν, τὸ δὲ πρότερον οὔ. Ὥστε αὐτὸ ποτὲ μὲν [h] τεσσαρεσκαιδεκασύλλαβον, ποτὲ δὲ [i] τρισκαιδεκασύλλαβον, ποτὲ δὲ δωδεκασύλλαβον εἶναι.

[y] τί πῶς Fl. B. τυπῶς H.

[z] σοφοὶ] Hunc versum inter Pindarica n. xxix. Plutarchi auctoritate II. p. 116 D. recepit Schneiderus, n. 235 Boeck.

[a] Pro δακτυλικοῦ C. habet καταληκτικοῦ. Pro δὶς Fl. exhibet δύο.

[b] δύο om. C. mox αὐτοὺς om. Turn. Tum γενέσθαι Fl.

[c] πρῶτον] Hic et infra P.S. πρότερον.

[d] τὴν ἐλεγείαν] τὸ ἐλεγεῖον malit Santenius ad Terent. Maur. v. 1726. et p. 306.

[e] τὸ δὲ] δὲ om. S.

[f] δακτυλικῶν Fl. B.E. pro v. l. Tum συνεστήκοι Turn. E. συνεστήκει C.P.S.

[g] Νηΐδες] Hunc versum ex Elegis Callimachi depromtum esse sibi persuasum habuit Hemsterhusius ad istius poëtæ Fr. cxi. qui constructionem sic ordinat: φίλοι, οἳ οὐκ ἐγένοντο νηΐδες Μούσης. Callimacho diserte tribuit Chœroboscus in Theodos. p. 193, 12. Eum imitantur Auctores Epigrammatum apud Anthol. Pal. IX. 583. Ὦ φίλος, εἰ σοφὸς εἶ, λάβε μ' ἐς χέρας· εἰ δὲ πέφυκας Νῆϊς Μουσάων, ῥίψον ἃ μὴ νοέεις. IX. 191. Εἴ δέ σε φίλατο Καλλιόπη, λάβε μ' ἐς χέρας· εἰ δὲ Νῆϊς ἔφυς Μουσέων, χερσὶ βάρος φορέεις.

[h] τεσσαρεσκαιδεκασύλλαβον] γίνεσθαι addit P. Mox εἶναι om. P.

[i] Ita legendum erat postulante sensu. MSS. plerique et Fl. tan-

17 Καὶ [k]τοῦ μὲν τεσσαρεσκαιδεκασυλλάβου ἓν σχῆμα·

[l]παῖς ἄτε, τῶν δ' ἐτέων ἡ δεκὰς οὐκ ὀλίγη.

ὁμοίως δὲ τοῦ δωδεκασυλλάβου ἕν·

[m]τίκτεσθαι· βροντᾶν δ' οὐκ ἐμὸν, ἀλλὰ Διός.

Τοῦ δὲ τρισκαιδεκασυλλάβου δύο σχήματα· ποτὲ μὲν πρῶτος ὁ δάκτυλος·

Νηΐδες αἱ Μούσης οὐκ ἐγένοντο, φίλοι.

ποτὲ δὲ δεύτερος·

ῥέζειν, καὶ στεφέων εὗαδε τῷ Παρίῳ.

18 Δεῖ δὲ τὸ ἐλεγεῖον τέμνεσθαι πάντως [n]καθ' ἕτερον τῶν πενθημιμερῶν· εἰ δὲ μὴ, ἔσται πεπλημμελημένον, οἷον τὸ Καλλιμάχου, (Fr. cxcii.)

ἱερὰ, νῦν δὲ Διοσκουρίδεω γενεή.

tum habent δωδεκασύλλαβον. Turn. tantum τρεισκαιδεκασύλλαβον. τρισκαιδεκασ. P. ιγ σύλλαβον E. qui mox εἰς ιβ σύλλαβον.

[k] τοῦ μὲν] μὲν om. E.

[l] παίσατε] Hunc versum, e poëta vetusto, forsan Callimacho, desumtum, mutuatus est Agathias Anthol. Pal. V. 282. Steph. p. 463. 'Η ῥαδινὴ Μελίτη ταναοῦ ἐπὶ γήραος οὐδῷ Τὴν ἀπὸ τῆς ἥβης οὐκ ἀπέθηκε χάριν· 'Αλλ' ἔτι μαρμαίρουσι παρηΐδες, ὄμμα δὲ θέλγον Οὐ λάθε· ΤΩΝ Δ' ΕΤΕΩΝ 'Η ΔΕΚΑΣ ΟΥΚ ΟΛΙΓΗ. Ad. vv. Οὐ λάθε Porsonus in Miscellaneis p. 259. "Si "hoc epigramma citat Hephæ"stion, pro οὐ λάθε legendum est "παῖς ἄτε, aut forsan ita fuerat in "epigrammate, quod compilavit "Agathias." Non dubitavi litteras sejungere quæ male coaluerant.

[m] Plutarchus, *Quomodo Adulator ab Amico internoscatur*, T. II. p. 54 D. εὐφυὴς εἰμι ποιητὴς καὶ στίχον οὐ φαυλότατον γράφων· ΒΡΟΝΤΑΝ Δ' ΟΥΚ ΕΜΟΝ, ΑΛΛΑ ΔΙΟΣ.

[n] καθ' ἕτερον] N. habet καθ' ἕκαστον. Hotchkis conjicit κατὰ πρότερον. Sed vide supra X. 8.

10. Δεῖ δὲ τὸ ἐλεγεῖον] 'Αντὶ τοῦ εἰς μέρος λόγου καταλήγειν· ἐὰν δὲ τὸ δεύτερον μέρος τοῦ ἐλεγείου, οἷον τὸ, οὐκ ἐγένοντο φίλοι, διπλασιάσῃ τὶς, ποιεῖ ἐλεγεῖον· ἐπειδὴ καὶ τὸ πρῶτον μέρος καὶ τὸ δεύτερον δέχεται δακτύλους· τὸ δὲ πρῶτον ἐὰν διπλασιάσῃ τὶς, οὐ πάντως ποιεῖ ἐλεγεῖον. 'Εὰν γὰρ ἔχῃ τὸ πρῶτον μέρος σπονδεῖον, οὐ γίνεται· οὐδὲ γὰρ δύναται αὐτὸν τάξαι ἐν τῷ δευτέρῳ μέρει, μὴ δεχομένου τοῦ δευτέρου μέρους σπονδεῖον· ἐὰν δὲ τὸ πρῶτον μέρος ἐκ δακτύλων ᾖ, δυνατόν· διὸ [5]εἶπεν οὐ πάντως. Δεῖ δὲ τοῦτο ἐπισημήνασθαι, ὅτι ἐὰν ἡ τελευταία τοῦ δευτέρου μέρους συλλαβὴ [6]βραχεῖα εἴη, οὐδὲ αὐτὸ ποιεῖ ἐλεγεῖον· εὑρήσεται δὲ ἡ τελευταία συλλαβὴ ἐν τῷ διπλασιάζεσθαι τοῦ πρώτου μέρους βραχεῖα· ὅπερ ἐστὶν ἀδύνατον, εἰ μὴ ἄρα τὶς εἴποι ὅτι τῷ λόγῳ τῆς τελευταίας.

13. Διοσκουρίδεω] 'Η γὰρ τομὴ τοῦ πρώτου πενθημιμεροῦς οὐκ [7]ἀπήρτισεν

[5] εἶπον Pauwius.

[6] βραχεῖα] Vid. Santen. ad Terent. Maur. p. 291.

[7] ἀπήρτησεν] ἀπήρτισεν E.

19 Ἄλλο ἀσυνάρτητον ὁμοίως κατὰ τὴν πρώτην ἀντιπάθειαν, ἐξ ἰαμβικοῦ διμέτρου ἀκαταλήκτου καὶ τροχαϊκοῦ ἐφθημιμεροῦς, τοῦ καλουμένου Εὐριπιδείου· [p] οἷον τὸ ἐν τοῖς ἀναφερομένοις εἰς Ἀρχίλοχον [q] Ἰοβάκχοις,

Δήμητρος ἁγνῆς καὶ Κόρης τὴν πανήγυριν σέβων.

20 Ἄλλο τούτου ἔλαττον κατὰ τὴν τελευταίαν συλλαβήν, τὸ καλούμενον [r] Εὐριπίδειον τεσσαρεσκαιδεκασύλλαβον· οἷον, παρὰ μὲν αὐτῷ Εὐριπίδῃ, (Fr. inc. 136.)

Ἑῷος ἡνίχ' ἱππότας ἐξέλαμψεν ἀστήρ.

παρὰ δὲ Καλλιμάχῳ, (Fr. cxvi.)

[s] ἔνεστ' Ἀπόλλων τῷ χορῷ· τῆς λύρης ἀκούω·
καὶ τῶν Ἐρώτων ᾐσθόμην· ἔστι κ' Ἀφροδίτη.

21 Ἄλλο ἀσυνάρτητον ὁμοίως κατὰ τὴν πρώτην ἀντιπάθειαν, ἐκ τροχαϊκοῦ διμέτρου ἀκαταλήκτου καὶ ἰαμ-

[p] οἷον] οἷόν ἐστι E.S.

[q] Ἰοβάκχοις] Vide Bentleium ad Horat. Serm. I. 3, 7.

[r] Εὐριπίδειον] Vide Schol. Aristoph. Equit. 753. Mox in ed. Fl. male ἔλαμψεν.

[s] In C. locus sic exhibetur mutilus, ἔνεστ' Ἀπόλλων τῷ χορῷ τῆς λύρης ᾐσθόμην· ἔστι χ'ἀπόλλων ἀφροδίτη. Verba ἀκούω καὶ τῶν ἐρώτων in eo codice manu sua supplevit Bentleius. χἀπόλλων ἀφροδίτη P.

εἰς μέρος λόγου. Λήγει γὰρ εἰς τὸ Διός· τὸ δὲ ὅλον μέρος εἰς τὸ Διοσκουρίδεω.

1. κατὰ τὴν πρώτην ἀντιπάθειαν] Πρώτη ἀντιπάθεια, ἡ ἐκ τῶν δισυλλάβων τῶν ἐναντίων σύνθεσις πρὸς τοὺς δισυλλάβους ἢ ἐκ τρισυλλάβων, τοῦτ' ἔστι τῶν ἁπλῶν, ὅταν ἐξ ἀντιστροφῆς παραλαμβάνωνται· οἷον, εἰ ἀντὶ ἀπὸ βραχείας ἀρχῆς ἰάμβου ὁ ἀπὸ [8] μακρᾶς τροχαῖος παραληφθείη· καὶ ἀντὶ ἀπὸ μακρᾶς ἀρχῆς δακτύλου καὶ δύο βραχειῶν, ὁ ἀπὸ βραχείας ἀρχόμενος βακχεῖος καὶ ἑξῆς ἔχων δύο μακρὰς παραληφθείη. Ἔστι δὲ [9] ἀντιπάθεια ἡ ἐν τοῖς συνθέτοις ἐναντίωσις· λέγω ἐν τοῖς τετρασυλλάβοις, [10] οἷόν ἐστι τὸ ἀναπαίστοις.

ib. Πρώτην ἀντιπάθειαν λέγει τὴν ἐν τοῖς ἁπλοῖς ποσί, τουτέστι τοῖς δισυλλάβοις καὶ τρισυλλάβοις, ἐναντιότητα· δευτέροις (δευτέραν) δὲ ἀντιπάθειαν τὴν ἐν τοῖς συνθέτοις· λέγω δὴ τὴν ἐν τοῖς τετρασυλλάβοις. S.

6. ἔλαττον] ὡς εἶναι [11] τριῶν μόνων τῶν ἐπὶ τέλους τροχαίων, μὴ προσούσης τῆς συλλαβῆς· τοῦτο δέ ἐστι τὸ ἰθυφαλλικόν, συγκείμενον ἐκ τριῶν τροχαίων.

9. Ἑῷος] Ἐνδεῖ γὰρ ἡ συλλαβὴ τοῦ ἐφθημιμεροῦς· καὶ τὸ ἑξῆς ὅμοιον, καὶ τὸ γ'.

13. ὁμοίως κατὰ τὴν πρώτην] Πρώτην ἀντιπάθειαν λέγει τὸ α' τῶν δύο ἀσυναρτήτων, τῶν συγκειμένων ἐξ ἐναντίων ποδῶν δισυλλάβων. Τὸ μὲν γὰρ ἐξ ἰάμβων σύγκειται, τὸ δὲ ἐκ τροχαίων, οἵ εἰσιν ἐναντίοι.

[8] μακρᾶς] μακροῦ E. qui mox παραλειφθείη. Similiter infra.

[9] ἡ β. ἀντιπάθεια Pauwius.

[10] Legendum videtur οἷόν ἐστιν ὁ ἀντίπαστος.

[11] μὲν τριῶν μερῶν] τριῶν μόνων E.

βικοῦ ἐφθημιμεροῦς, ὅπερ, ἐὰν παραλλάξῃ τὴν τομὴν, γίνεται τροχαϊκὸν προκαταλητικόν·

[t]ἔστι μοι καλὰ πάϊς χρυσέοισιν ἀνθέμοισιν
ἐμφερῆ ἔχοισα μορφὰν, Κλεῒς ἀγαπατὰ,
ἀντὶ τᾶς ἐγὼ οὐδὲ Λυδίαν πᾶσαν, οὐδ' ἐραννάν.

22 τούτων δὲ τὸ μὲν δεύτερον [u]δῆλόν ἐστιν ἀπὸ τῆς τομῆς ὅτι οὕτως σύγκειται, [x]ὡς προείρηται, ἐκ τοῦ τροχαϊκοῦ διμέτρου ἀκαταλήκτου καὶ τοῦ ἐφθημιμεροῦς ἰαμβικοῦ· τὸ δὲ πρῶτον, διὰ τὸ πρὸ συλλαβῆς ἔχειν τὴν τομὴν,

[t] Hi versus omnes constant e trochaico dimetro et iambico hephthemimeri. Sed solus eorum secundus juxta eam formam cæsuram recipit. ἐμφερῆ ἔχοισα μορφὰν est igitur trochaicus dimetrus acatalectus, cujus pars reliqua debet esse hephthemimeres iambicum. Sed κλεῒς ἀγαπητὰ vel κλεῒς κἀγαπητὰ non est tale. Conjectura igitur suppleatur κλεῒς ΤΕ κἀγαπητά. HOTCHKIS. Hunc versum etsi mendosum, prout in MSS. legitur, reliqui. Bentleius sic: lege Κλεῒς 'ἀγαπατὰ, et totum fortasse sic, ἐστί μοι καλὰ παῖς | χρυσέοισιν ἀνθέμοισιν Ἐμφερῆ ἔχοισα μορ|φὰν, Κλεῒς 'ἀγαπητὰ Ἀντὶ τᾶς δ' ἐγὼ οὐ θέλω | Λυδίαν πᾶσαν οὐδ' ἐραννάν. Tyrwhittus voluit, ἐμφερῆ μάλιστ' ἔχοισα | μορφὰν Κλεῒς ἀγαπατά. An legendum, ἐμφερῆ ἔχοισα μορφὰν ἁ Κλῆϊς (vel Κλαῒς) ἀγαπατὰ? Vid. Valcken. Ep. ad Rover. p. lxii. Et sic nunc video Bergkium correxisse, qui præterea edidit ἐμφέρην pro ἐμφερῆ. Mox πᾶσαν deest Turn. et E pr. Ceterum Sapphoni recte, ut videtur, tribuit Ursinus, p. 287. Bergk. n. 84. ἀνθέσμοισιν—ἔχουσα—κλεὶς—οὐ λυδίαν Fl.

[u] δῆλον—ὅτι οὕτως] Libri omnes agnoscunt οὕτως. Turnebus vero quia Κλεῒς κἀγαπητὰ non fuit hephthemimeres iambicum, ut debuit, ου posuit, et ad calcem libri abjecit οὕτως. Pauwius, ut in erroribus solet, hunc sequitur. Miror vero D'Orvillium, cui Hephæstio tantum debet, hoc probasse. HOTCHKIS. Turnebus cum E. ita locum exhibet: τούτων δὲ τὸ μὲν δεύτερον, δηλαδὴ τὸ ἐφθημιμερῆ ἔχον μορφὴν, Κλεῒς ἀγαπητὰ δῆλόν ἐστιν ἀ. τ. τ. ὅτι οὐ (οὕτως E. ex em.) σύγκειται. D, quem male cepit D'Orvillius, hoc modo: τούτων δὲ τὸ μὲν δεύτερον, δηλαδὴ τὸ ἐφθημιμερὲς, τὸ ἐμφερῆ ἔχουσα μορφήν. Hermannus: "Apparet "hanc interpretis adnotationem "esse, in qua librarius quum per "errorem scripsisset ἐφθημιμερὲς, "adjecit statim veram lectionem "ἐμφερῆ, sed aut delere oblitus "est alterum vocabulum, aut "puncta supposita ab iis, qui hæc "descripsere, neglecta sunt."

[x] Pro ὡς προείρηται C. habet ὥσπερ εἴρηται.

2. γίνεται τροχαϊκὸν προκαταληκτικὸν] Ὅλον τροχαϊκὸν λοιπὸν ἔσται, εἰ παραλλάξεις τοῦ δέοντος τόπου τὴν τομὴν, [12]προκαταληκτικὸν, διὰ τὸ, [13]κατὰ τὸν δέοντα τῆς καταλήξεως τόπον συμβαίνειν τὴν τομὴν, ὡς ἑξῆς ὑπόκειται.

12 Hermannus: προκαταληκτικὸν δὲ, διὰ τὸ μὴ κατὰ τὸν δέοντα etc.

13 κατὰ τὸν] κατὰ om. E.

ἐγένετο προκαταληκτικὸν, ἐκ τροχαϊκοῦ ἐφθημιμεροῦς,

ἔστι μοι καλὰ πάϊς,

καὶ διμέτρου ἀκαταλήκτου, τοῦ,

χρυσέοισιν ἀνθέμοισιν.

τὸ δὲ τρίτον ἐξ ὑπερκαταλήκτου,

ἀντὶ τὰς ἐγὼ [x] οὐδὲ Λυδίαν.

καὶ βραχυκαταλήκτου,

πᾶσαν οὐδ' ἐραννάν.

23 Ἀνακρέων δὲ οὐκ ἰαμβικῷ ἀλλὰ χοριαμβικῷ ἐπιμίκτῳ πρὸς τὰς ἰαμβικὰς ἐπήγαγε τὸ ἰθυφαλλικὸν, (Fr. 30 Bergk.)

τὸν [y] λυροποιὸν ἠρόμην [z] Στράττιν εἰ κομήσει.

24 Τούτου δὲ μεῖζόν ἐστι συλλαβῇ τῇ τελευταίᾳ τὸ καλούμενον [a] Κρατίνειον. Ἔστι γὰρ ἐκ χοριαμβικοῦ ἐπιμίκτου, τοῦ τὴν δευτέραν ἰαμβικὴν ἔχοντος, καὶ τροχαϊκοῦ ἐφθημιμεροῦς·

Εὔιε κισσοχαῖτ' ἄναξ, χαῖρ', [b] ἔφασκ' Ἐκφαντίδης,

[x] οὐ λυδίας Fl.

[y] λυροποιὸν] μυροποιὸν Bergk.

[z] Στράτιν et κομίσει E. Turn. Στρατῖνον εἰ κομίσει Scaliger Poet. II. 23. non ut notat Barnesius ad Anacreont. p. 305.

[a] Κρατίνειον] Vid. Meinek. Fr. inc. LII. Mox τοῦ post ἐπιμίκτου om. Fl.

[b] ἔφασκε Φαντίδης E. Turn. Male. Maussacus in Dissert. Critic. p. 402. Harpocrat. ed. Blancard.

4. χρυσέοισιν ἀνθέμοισιν] Ἐὰν εἰς τὸ χρυ γένηται ἡ τομὴ, εὑρίσκονται τέσσαρες τροχαῖοι, καὶ τρεῖς ἴαμβοι, καὶ συλλαβὴ, καὶ ἡ τομὴ οὐ λήγει εἰς [14] λέξιν. [15] Ἐὰν δὲ ἡ τομὴ γένηται εἰς τὸ παῖς, καὶ εἰς λέξιν λήγει, καὶ εὑρίσκεται τὸ ὅλον τροχαϊκόν. [16] Τὰ δύο τὰ ἐφεξῆς, ἐκ τροχαίων καὶ ἰάμβων. Τὸ μετὰ τοῦτο, τὸ ἐμφερῆ ἔχουσα μορφὴν διὰ τὸ [17] τρισύλλαβον, πρὸ μιᾶς συλλαβῆς τῆς δεούσης ἐν τῷ παῖς. Ἔδει γὰρ μεθ' ἑτέρων συλλαβῶν τετμῆσθαι.

5. ἐξ ὑπερκαταλήκτου] Ὑπερκατάληκτόν ἐστι, τὸ μετὰ [18] τελειότητος περιττεῦον συλλαβῇ, εἰ δισύλλαβοι εἶεν οἱ πόδες· εἰ δὲ τρισύλλαβοι καὶ δύο.

7. καὶ [19] βραχυκαταλήκτου] Παρὰ συλλαβὴν γὰρ εὑρίσκεται τὸ ἐφθημιμερὲς, ὥστε γίνεσθαι δίμετρον βραχυκατάληκτον.

12. τὸν λυροποιὸν] Ἔστι γὰρ χορίαμβος, καὶ δύο ἴαμβοι, καὶ τρεῖς τροχαῖοι, τὸ ἰθυφαλλικὸν, ἕως τοῦ [20] κομήσει.

14 λέξιν] λῆξιν E.

15 Hermannus: ἐὰν δὲ ἡ τομὴ γένηται πρὸ μιᾶς συλλαβῆς τῆς δεούσης εἰς τὸ παῖς, καὶ εἰς etc.

16 Τὰ δύο] τὰ δὲ δύο Herman. qui mox τὸ μὲν μετὰ τοῦτο.

17 τρισύλλαβον—ΠΑΙΣ] περιττοσύλλαβον ...... ἔδει etc. Herman.

18 τελειότητος] διποδίαν et mox συλλαβὴν E.

19 βραχυκαταλήκτου] βραχυκατάληκτα E.

20 κομήσει] κομίσει E.

πάντα φορητὰ, πάντα τολμητὰ τῷδε τῷ χορῷ,

5 [b]Ἐξ ὁμοίων δέ ἐστιν, ἅπερ ὑπὸ [c]ποδὸς ἢ συζυγίας ἢ [d]περιόδου καταμετρεῖται ἄνευ ἀριθμοῦ τινὸς ὡρισμένου, ὡς ἐὰν τεταγμένος ἀριθμὸς ᾖ, οὐκ ἔστιν ἐξ ὁμοίων, ἀλλὰ κατὰ σχέσιν, ὡς ἐν τῷ παρ' Ἀλκαίῳ ᾄσματι, οὗ ἡ ἀρχή,

ἐμὲ δειλὰν, ἐμὲ πασᾶν κακοτάτων πεδέχοισαν.

Ἄπειρος μὲν γάρ [e]τις ὢν φήσειεν ἂν αὐτὸ ἐξ ὁμοίων εἶναι, ἐξ ἰωνικῆς ἀπ' ἐλάσσονος συζυγίας καταμετρούμενον· ἡμεῖς δέ, [f]ἐπειδὴ κατὰ δέκα ὁρῶμεν αὐτὸ συζυγίας [g]καταμετρούμενον, κατὰ σχέσιν αὐτὸ γεγράφθαι

[a] Μαργίτης] μαργαρίτης E. qui mox habet τεταγμένον ἀριθμόν.

[b] ΕΞ ὉΜΟΙΏΝ] Tzetzes: ἅπερ ὑπὸ ποδός τινος ἢ τινος συζυγίας | ἢ περιόδου μετρηθῇ ταῦτα τὰ ἐξ ὁμοίων.

[c] ποδὸς] ποδῶν Fl. B. Sed ποδὸς Tzetzes Crameri p. 64.

[d] περιόδου] Tzetzes: Περίοδον δὲ γίνωσκε τριῶν ποδῶν τι κόμμα | ἐκ γὰρ τριῶν περίοδος ὡς δυοῖν συζυγία. | ἢ διαφόρων σύνθεσις ποδῶν κατὰ τοὺς ἄλλους, | οὐ τῶν αὐτῶν τροχαίου τε δακτύλου καὶ σπονδείου. | Ὅτε τοίνυν μεμέτρηται ἔκ τινος τῶν τοιούτων | οὐχ ὡρισμένῳ ἀριθμῷ ἀλλ' ὅλως ἀορίστως | τότε τὰ ἐξ ὁμοίων σοι ὑποτυποῖ ὁ λόγος. | Εἰ γάρ ἐστιν ὁ ἀριθμὸς ἐν τούτοις ὡρισμένως | τῶν περιόδων, τῶν ποδῶν, τῶν κώλων, τῶν κομμάτων | οὐκ ἐξ ὁμοίων τότ' εἰσὶν, ἀλλὰ τὰ κατὰ σχέσιν· | ἔχεις καὶ τὴν διαίρεσιν αὐτῶν τῶν συστημάτων. Infra οὐκ ἕξειν ἔξ Fl.

[e] τις ὢν] ὤν τις E. omisso mox ἄν. Particulam om. item S. Fl.

[f] ἐπεὶ Turn. C.E.S.

[g] γεγραμμένον Turn. E. qui alt. in marg.

Δακτυλικὸν γὰρ ἑξάμετρον, καὶ ἐλεγεῖα, καὶ ἴαμβος, οὔτε κατὰ στίχον, καὶ ὅμοια ἀλλήλοις, οὔτε κατὰ σχέσιν ἀνταποδιδόμενα.

1. οὐ γὰρ τεταγμένῳ ἀριθμῷ ἐπῶν] Ἀλλ' ἀτάκτως ὅποι ποτὲ τὸ ἄτακτον ἐποίησε μετρικόν· οὐ γὰρ τεταγμένῳ ἀριθμῷ· μετὰ γὰρ δέκα στίχους ἐπιφέρει ἴαμβον· καὶ πάλιν μετὰ πέντε καὶ ὀκτώ.

3. ΕΞ ὉΜΟΙΏΝ δέ ἐστι] Περὶ τούτων καὶ ἐν τῇ εἰσβολῇ ἐπεσημήνατο· τῶν γὰρ μέτρων τὰ μὲν ὑπὸ ποδὸς, τὰ δὲ ὑπὸ συζυγίας, ὡς τὰ ἰαμβικὰ καὶ τὰ ὅμοια, τὰ δὲ ὑπὸ περιόδου καταμετρεῖται· περίοδος δέ ἐστιν, ἡ ἐκ διαφόρων ποδῶν ἐν τῷ στίχῳ σύνθεσις· οἷον, δακτύλου, τροχαίου, ἀναπαίστου, ἰάμβου, καὶ εἴ τι τοιοῦτον· ἀκολούθων μέντοι ὄντων καὶ τῶν ἑξῆς· οἷον καὶ τὸ [4]προσοδιακόν ἐστιν.

ib. ἢ συζυγίας, ἢ [5]περιόδου] Περίοδός ἐστι ποδικὴ ἐν τρισὶ ποσὶ καταρίθμησις· ὥσπερ γὰρ τὸ μὲν δακτυλικὸν ὑπὸ ποδὸς μετρεῖται, τὰ δὲ ὑπὸ συζυγίας, τουτέστι δύο ποδῶν ἁπλῶν, οὕτω καὶ ὑπὸ περιόδου, τουτέστι τριῶν

[4] προσῳδιακὸν E. [5] περιόδου] περὶ ποδὸς E.

φαμέν. Διόπερ καὶ τὰ μονοστροφικὰ ᾄσματα, δέκα ὄντα συζυγιῶν, οὕτω πεποιῆσθαι νομίζομεν. Ἔστι *δέ τινα τὰ ἐξ ὁμοίων* [h]*οὕτω πεποιημένα, οἷον τὰ* Ἑρμείου, *παιωνικὰ ὄντα,*

[i]*Ἑπτά μοι δὶς τριάκοντα βασιλεὺς σχεδόν.*

καὶ τὰ ἑξῆς.

6 *Ὑπολείπεται δὲ ἡμῖν περί τε τῶν* [j]*μικτῶν συστηματικῶν εἰπεῖν, καὶ τῶν κοινῶν συστηματικῶν. Λέγομεν τοίνυν ὅτι* ΜΙΚΤᾺ *μέν ἐστι* ΣΥΣΤΗΜΑΤΙΚᾺ, *ὥσπερ εἴ τις τὴν πρώτην ᾠδὴν ἐν τῷ πρώτῳ* Ἀλκαίου *καὶ τὴν δευτέραν συνάψειε, συστηματικῆς οὔσης αὐτῶν ἑκατέρας.*

7 ΚΟΙΝᾺ *δέ ἐστι* ΣΥΣΤΗΜΑΤΙΚᾺ *τὰ δύο εἴδεσιν ὑποπεπτωκότα· οἷον συμβέβηκεν ἐπὶ* [k]*τοῦ,*

ἐμὲ δειλὰν, ἐμὲ πασᾶν κακοτάτων πεδέχοισαν.

[h] *οὕτω* om. B. Fl.
[i] *ἑπτάμυδις* E. Turn.
[j] *καταμίκτων* E. Turn. *μικτῶν* E. marg. Tum *συστημάτων* Fl. E. marg.
[k] *τῶν* Fl. ubi mox *κακωτάτην* sine *πεδέχοισαν*.

ποδῶν, ὡς ἐν συζυγίᾳ καταμετρεῖται ἄνευ ἀριθμοῦ τινὸς ὡρισμένου, οὐκ ἐπιφερομένης τινὸς ἀντιστρόφου· ἀλλ' ὥσπερ ἀδιαφόρως, εἰ τύχοι, τριμέτρων δύο καὶ ἑνὸς τετραμέτρου καὶ μονομέτρου, καὶ ἑξῆς ὁμοίως, ἀδιαφόρως οὔσης τῆς αὐτοῦ ποσότητος· περίοδος γὰρ ἡ ἐκ διαφόρων κώλων περικοπὴ, ὡς ἐν τῷ παρ' Ἀλκαίῳ ᾄσματι· ἀνταπόδοσις γὰρ γίνεται συστηματική.

5. *Ἑπτά μοι δὶς τριάκοντα*] *Τοῦτο παιωνικόν ἐστι, τὴν πρώτην καὶ δευτέραν συζυγίαν ἔχον συνηρημένην,* **ἑπτά μοι δὶς τριά·** *ἔστι γὰρ ὁ πρῶτος ποὺς, τὰς τελευταίας συνελὼν, καὶ κρητικὸν ποιήσας, ἐκ – ᴗ –, καὶ ἀντὶ δύο βραχειῶν* [5]*μακρὰν μίαν· ἡ δὲ τρίτη καὶ τετάρτη ὁμοίως ἔχουσι τὸν πρῶτον παίωνα,* **κοντα βασιλευς σχεδον.**

7. *Ὑπολείπεται δὲ ἡμῖν*] *Μικτὰ μὲν οὖν ἐστὶν, ἃ παραθέσεις ἔχουσι, τὰ τρία ᾄσματα· τὰ* [6]*δὲ ἐν σχέσει.*

9. *ὡς εἴ τις τὴν πρώτην ᾠδὴν*] *Ἑκατέρα μὲν γὰρ τῶν ᾠδῶν κατὰ σύστημα γέγραπται, διάφορον δὲ ἔχει μέτρον, ὡς ἡ πρώτη πρὸς τὴν δευτέραν· ἡ μὲν γὰρ πρώτη ἐκ τοῦ [πα]ιωνικοῦ σύγκειται, ἡ δὲ δευτέρα ἐκ τοῦ χοριαμβικοῦ· εἴ τις οὖν μίξειεν ἀμφοτέρας τὰς ᾠδὰς, οὔσας συστηματικὰς, εἴποι ἂν τὸ μέτρον ἐκ μικτῶν συστηματικῶν συγκεῖσθαι· καὶ ἔστι τῆς μὲν πρώτης ᾠδῆς ἀρχὴ,*

Ὦ ναξ Ἄπολλον παῖ μεγάλω Διὸς,

ἐπιωνική· τῆς δὲ δευτέρας,

Χαῖρε Κυλλάνας ὁ [7]**μέδων. σὲ γάρ μοι,**

[8]*ἐπιχοριαμβική.*

12. ΚΟΙΝΑ' *δέ ἐστι* ΣΥΣΤΗΜΑΤΙΚΑ'] *Τὰ δυνάμενα ἐπιδέξασθαι τὰ δύο*

5 *μακρὰν μίαν*] *μακρᾶς μιᾶς* E.
6 δ' E.
7 *μέδων*] *μέδεις* E.
8 *ἐπιχοριαμβικὴ*] *ἡ ἐπιχοριαμβική* E.

ἄπειρος μὲν γάρ [l]τις ὢν τῆς τοῦ ποιητοῦ προθέσεως ἐξ ὁμοίων φήσειεν ἂν εἶναι τὸ ᾆσμα· ὁ δὲ ἔμπειρος κατὰ σχέσιν, [m]ὡς καὶ ἐν τοῖς ἔμπροσθεν ἐπεδείξαμεν.

ΚΕΦ. Η.

Τῶν δὲ κατὰ σχέσιν, τὰ μέν ἐστι μονοστροφικὰ, τὰ δὲ ἐπῳδικὰ, τὰ δὲ κατὰ περικοπὴν ἀνομοιομερῆ, τὰ δὲ ἀντιθετικὰ, τὰ δὲ μικτὰ κατὰ σχέσιν, [n]τὰ δὲ κοινὰ κατὰ σχέσιν.

2 [o]Μονοστροφικὰ μὲν οὖν εἰσὶν, [p]ὅσα ὑπὸ μιᾶς στροφῆς καταμετρεῖται, καθάπερ τὰ Ἀλκαίου, καὶ τὰ Σαπφοῦς, καὶ ἔτι τὰ Ἀνακρέοντος.

3 [q]Ἐπῳδικὰ δέ ἐστιν, ἐν οἷς συστήμασιν ὁμοίοις ἀνόμοιόν τι ἐπιφέρεται. Τοῦ δὲ ἐπῳδικοῦ γένους τὰ μέν ἐστιν ὁμωνύμως αὐτῷ καλούμενα ἐπῳδικὰ, [r]τὰ δὲ προῳδικὰ, τὰ δὲ μεσῳδικὰ, τὰ δὲ περιῳδικὰ, τὰ δὲ παλινῳδικά.

4 Ἐπῳδικὰ [s]μὲν οὖν ἐστιν ἐν οἷς [t]ὁμοίοις ἀνόμοιόν τι

[l] τις ὢν] ὤν τις E.
[m] ὡς καὶ] καὶ om. E.
[n] τὰ δὲ κοινὰ κατὰ σχέσιν om. Fl.B.
[o] ΜΟΝΟΣΤΡΟΦΙΚΑ'] Vid. Schol. Eurip. Orest. 1355. στροφὴ μονόστροφος ibid. 1366. 1380. 1408. 1434. 1460.
[p] ὁπόσα C.E.S. Turn.
[q] ἐπῳδικὰ—καλούμενα ἐπωδικὰ E. marg.
[r] τὰ δὲ προῳδικὰ—παλινῳδικά. Ex C. adjecta. Ceteri omittunt.
[s] μὲν οὖν] δὲ E.
[t] συστήμασιν ὁμοίοις] συστήμασιν abest a Fl. et MSS. præter E. Ante ἐπ' ἔλαττον MSS. et edd. habent δηλονότι.
ib. Unicuique hæc fugiente tantum oculo inspicienti liquido constabit ea turbata esse. In

εἴδη· τὰ δὲ δύο εἴδη εἰσὶν ὑποπεπτωκότα τῷ τε ἐξ ὁμοίων καὶ τῷ κατὰ σχέσιν. ἐξ ὁμοίων ἄπειρος μὲν οὖν φήσειεν εἶναι ᾆσμα, διὰ τὸ ἐκ τῶν αὐτῶν ποδῶν τῶν ἰωνικῶν καταμετρεῖσθαι, τῇ δὲ [9]ποιότητι ἐναλλάττειν· ὁ δὲ ἔμπειρος, κατὰ σχέσιν· ἐπεὶ ἀνταπόδοσις γίνεται τῶν στροφῶν· εἰκότως δὲ οὐκ ἔστιν ἔλαττον τῶν τριῶν ἀριθμῶν. τὸ γὰρ ὅμοιον, τῶν πρός τι· τινὶ γὰρ ὅμοιον. προτίθεμεν γὰρ καὶ τὸ ἀνόμοιον. καὶ πάντως γίνεται ὁ τρίτος, ἔκτος, ἐν οἷς τὰ μὲν περιέχοντα ἐν ἀρχῇ καὶ τέλει, συστηματικά· τὰ δὲ περιεχόμενα ταῦτα, ἢ ἐν τριάδι, ἢ ἐν πεντάδι· οὐ γὰρ δυνατὸν [10]ἐν τριάδι, ἐπεὶ γίνεται μεσῳδικά.

[9] ποσότητι Pauw. Tum ἐναλλάττει E.
[10] ἐν τριάδι] ἐν om. E. qui infra γίνονται.

ἐπιφέρεται. Ἐπ' ἔλαττον μέντοι τοῦ τῶν τριῶν ἀριθμοῦ οὐκ ἂν γένοιτό τι τοιοῦτον, ἐπὶ πλεῖον δὲ οὐδὲν αὐτὸ κωλύει ἐκτείνεσθαι· γίνεται γὰρ, ὥσπερ τριὰς ἐπῳδικὴ, οὕτω καὶ τετρὰς, καὶ πεντὰς, καὶ ἐπὶ [u] πλεῖον, ὡς τά γε πλεῖστα [x] Πινδάρου καὶ Σιμωνίδου πεποίηται.

5 Προωιδικὰ δέ ἐστιν, ἐν οἷς τὸ ἀνόμοιον προτέτακται τῶν ὁμοίων.

6 Μεσωιδικὰ δὲ, ἐν οἷς περιέχει μὲν τὰ ὅμοια, μέσον δὲ τὸ ἀνόμοιον τέτακται.

7 Παλινωιδικὰ δὲ, ἐν οἷς τὰ μὲν περιέχοντα ἀλλήλοις ἐστὶν ὅμοια, ἀνόμοια δὲ τοῖς περιεχομένοις· τὰ δὲ περιεχόμενα ἀλλήλοις μὲν ὅμοιά [y] ἐστιν, ἀνόμοια δὲ τοῖς περιέχουσι.

8 Περιωιδικὰ δὲ, ἐν οἷς τὰ μὲν περιεχόμενα ἀλλήλοις

hoc loco sanando, et quæ spuria sunt ex eo eradendo, non levem opem nobis commodabit Scholiastes Euripidis Hecubæ 629. Hic primo omittit *συστήμασι*, in quo eum sequitur Triclinius, in metris Sophocl. Aj. p. xi. Tamen, etsi fretus duplici illa auctoritate, minime asseveraverim eam vocem esse delendam. Totum locum ita exhibet modo laudatus Scholiastes: *Ἐπῳδικὰ δέ ἐστιν ὡς Ἡφαιστίων φησὶν, ἐν οἷς ὁμοίοις ἀνόμοιόν τι ἐπιφέρεται· ἐπ' ἔλαττον μέντοι τοῦ τῶν τριῶν ἀριθμοῦ, ἤτοι στροφῆς ἀντιστροφῆς καὶ ἐπῳδοῦ, οὐκ ἂν γένοιτο τὸ τοιοῦτον· ἐπὶ πλεῖον δὲ οὐδὲν κωλύει ἐκτείνεσθαι· γίνεται δὲ ὥσπερ τριὰς ἐπῳδικὴ, οὕτω καὶ τετρὰς, καὶ πεντὰς, καὶ ἐπὶ πλεῖον.* Unde patet apud Hephæstionem ista, *τοῦ δὲ ἐπῳδικοῦ—δηλόνοτι*, quæ sensum turbant, expungenda esse; cetera sic satis dilucida sunt. Neque enim certum est hæc, *ἤτοι στροφῆς, ἀντιστροφῆς, καὶ ἐπῳδοῦ*, quæ apud Euripidis Scholiasten leguntur, Hephæstionis textui esse inserenda; facile enim ab ipso grammatico, majoris lucis causa, addi potuerunt. ARNALDUS.

[u] *πλεῖον*] *πλέον* E. *πλεῖστον* C. Supra *γίνεται δὲ* Fl.

[x] *Πινδάρου καὶ Σιμωνίδου*] Pindarus et Simonides triade usi sunt. Tetras foret, quæ tres pares, unam autem dissimilem stropham haberet: quod genus neque apud Pindarum, neque apud Tragicos invenitur. Denique maxima varietas est in iis partibus tragœdiarum, in quibus vel diversæ chori personæ, vel actores aliqui, vel chorus et actores simul inter se canunt. In quibus carminibus etiam ordo stropharum mirifice variat. HERMANN. El. D. M. p. 716.

[y] *ἐστιν*] *εἰσιν* E.

14. ΠΕΡΙΩΙΔΙΚΑ' δὲ] *Ὥστε τρόπον τινὰ καὶ περιῳδικὰ (προῳδικὰ) εἶναι, καὶ ἐπῳδικὰ, ἑκάτερον ἓν, καὶ διὰ τοῦτο καὶ περιῳδικὰ καλεῖται.*

ἐστὶν ὅμοια, τὰ δὲ περιέχοντα οὔτε ἀλλήλοις, οὔτε τοῖς περιεχομένοις.

9 [z] Κατὰ περικοπὴν *δέ ἐστιν* ἀνομοιομερῆ, *ὁπόταν ἐκθέμενος ὁ ποιητὴς ὁπόσα δήποτε συστήματα* [a] *διάφορα ἐπαγάγῃ ἐκ τῶν αὐτῶν συστημάτων συνεστῶσαν περικοπήν· ὥστε τὰ μὲν ἐν ἑκατέρᾳ ἢ ἑκάστῃ περικοπῇ συστήματα ἀνόμοια εἶναι ἀλλήλοις, τὰς δὲ περικοπὰς ἀμφοτέρας ἀλλήλαις ὁμοίας ἢ πάσας.*

10 [b] Ἀντιθετικὰ *δέ ἐστιν, ὁπόταν ὁ ποιητὴς γράφῃ ὁπόσα δήποτε κῶλα ὡς ἀνόμοια, καὶ ὡς βούλεται, εἶτα*

[z] ΚΑΤΑ᾽ ΠΕΡΙΚΟΠΗ᾽Ν] Tzetzes, (in quo tamen *κατὰ παρακοπὴν* perperam legitur): *Περικοπὴν τῶν κωμικῶν ἐν παρεκβάσει μάθε | ὅταν τιθῶσι σύστημα ἐκ τόσων ἀνομοίων | καὶ συνεστώσας ἐξ αὐτῶν περικοπὰς ποιῶσιν | ὡς εἶναι τὰς περικοπὰς τούτων ἀλλήλαις ἴσας. | Τὰ δὲ συστήματα αὐτὰ ἀνόμοια ἀλλήλοις | αὐγὰς προσβάλλων τῷ Ὠῷ Ῥοδίου τοῦ Σιμμίου | καὶ τῷ Πελέκει τῷ αὐτοῦ, ὃν Ἐπειὸς δωρεῖται | τριτογενεῖ τῇ Ἀθηνᾷ χάριν δουρείου ἵππου, | ἐπίστω τ᾽ ἀντιθετικά, ἐν οἷς διέλθῃς ξένως | ὕστατον κῶλον δεύτερον ἀνταποδοὺς τῷ πρώτῳ· | τὸ ἀπὸ τέλους δεύτερον τῇ τάξει τῷ δευτέρῳ | τὸ ἀπὸ τέλους τρίτον δὲ τῇ τάξει τε τῷ τρίτῳ. | καὶ οὕτως ἐφεξῆς ποιῶν μέχρις αὐτοῦ τοῦ μέτρου | ὡς εἶναι μέσον τὸ αὐτὸ καὶ παραδόξως τέλος.* Vid. Schol. Aristoph. Nub. 291. Ran. 537. 1331. Pac. 360. 499. *κατὰ π. ὁμοιομερὲς* Schol. Eurip. Hec. 151. 174.

[a] *διάφορα* om. Fl. B.D.

[b] ἈΝΤΙΘΕΤΙΚΑ᾽] *ἀναθετικὰ* (*ἀντι* supra) E.

3. ΚΑΤΑ᾽ ΠΕΡΙΚΟΠΗ᾽Ν δὲ] *Ὥστε, εἰ τύχοι, γενέσθαι περικοπὴν κώλων καὶ στίχων λϛ´ διαφόρων, ἢ ὅσων βούλεταί τις, καὶ ἐπάγεσθαι ὅμοια μὲν λϛ´, τῶν μερῶν αὐτῶν ἀνομοίων ὄντων, οἷον ἐν συστήμασι τρισὶν, ἢ ὅσοις βούλεται ὁ* [11] *ποιῶν, κωλικοῖς, ἢ στιχηροῖς· οἷον, δύο ἢ πλείονα, ἀνόμοια ἀλλήλοις, καὶ ἑξῆς* [12] *ἐπάγει τοσαῦτα συστήματα, ὅμοια τοῖς προκειμένοις· πάλιν, ἀλλήλοις μὲν ἀνόμοιά ἐστιν, ἀνταποδιδόμενα δὲ τοῖς προκειμένοις συστήμασιν, οἷον εἰ τύχοι, δύο περικοπαὶ, ἐκ τριῶν συστημάτων, αβγ, αβγ, ταῦτα ἀλλήλοις ἀνόμοια· ἐπιφερομένων δὲ αὐτοῖς ὁμοίων, γίνεται τὸ κατὰ περικοπὴν ἀνομοιομερές· τοιαῦτα δέ ἐστιν ἐν δυάδι, τὰ ἐν ταῖς κωμικαῖς παραβάσεσιν· οἷον τὸ* [13] *μέλος καὶ τὸ ἐπίρρημα ἑξῆς κείμενα, ἀλλήλοις ἐστὶν ἀνόμοια· ἀλλ᾽ ἐπαγομένου αὐτοῖς τοῦ τε ἀντιστρέφοντος τῷ μέλει, καὶ τοῦ ἀντεπιρρήματος, γίνεται τὸ κατὰ περικοπὴν ἀνομοιομερὲς, τῶν μὲν περικοπῶν ἀντιστρεφουσῶν ἀλλήλαις, τῶν δὲ μερῶν αὐτῶν ἀνομοίων ὄντων* [14] *ἀμφοτέρων ἀλλήλοις· ὥστε τὰ ἐν ταῖς παραβάσεσι τῶν κωμῳδιῶν, κατὰ διστιχίαν ἀλλήλοις ἀνταποδιδόμενα,* [15] *ἢ κατὰ τὸ αὐτὸ μέτρον, δακτυλικὸν, ἢ ἄλλο ὅμοιον, σπανιώτατά ἐστιν.*

11 *ποιῶν*] *ποῖον* E.
12 *ἐπάγει*] *ἐπαγάγῃ* E.
13 *μέρος* E.
14 *ἀμφοτέρων ἀλλήλοις*] *ἀμφοτέρας ἀλλήλαις* E.
15 *ἢ*] *ἤγουν* ni fallor E. qui mox *σπανιώτατον*.

[b]τούτων ἀνταποδῷ τῷ μὲν τελευταίῳ τὸ πρῶτον, τῷ δὲ δευτέρῳ ἀπὸ τέλους τὸ δεύτερον, καὶ οὕτω πάντα κατὰ τὸν αὐτὸν λόγον. Τοῦτο δὲ τὸ εἶδος παρὰ μὲν τοῖς παλαιοῖς σπανιώτατόν ἐστι, παρὰ δὲ Σιμμίᾳ τῷ Ῥοδίῳ ἐστὶν οὕτω πεποιημένα ἐν τῷ [c]ἐπιγραφομένῳ Ὠῷ.

11 Μικτὸν δέ ἐστι κατὰ σχέσιν ποίημα, ἐν ᾧ ἐστι μέρη τινὰ, ἅπερ ἔφαμεν εἶναι τοῦ κατὰ σχέσιν [d]εἴδους, οἷον, λόγου χάριν, τό τε ἐπῳδικὸν, καὶ τὸ [e]μεσῳδικόν.

12 Κοινὸν δέ ἐστι κατὰ σχέσιν τὸ δύο συστήμασιν ὑποπεπτωκὸς, καθάπερ τὸ πρῶτον Ἀνακρέοντος ᾆσμα, (Od. 1. Bergk.)

γουνοῦμαί σ', ἐλαφηβόλε,
ξανθὴ παῖ Διὸς, ἀγρίων
δέσποιν' Ἄρτεμι θηρῶν.

[f]καὶ τὰ ἑξῆς.

13 Κατὰ μὲν γὰρ [ff]τὴν νῦν ἔκδοσιν ὀκτάκωλός ἐστιν ἡ στροφὴ, καὶ τὸ ᾆσμά ἐστι μονοστροφικόν. Δύναται δὲ καὶ ἑτέρως διαιρεῖσθαι, εἴς τε τριάδα, καὶ πεντάδα, ἢ

[b] τοῦτον Fl.
[c] ἐπιγεγραμμένῳ E. Turn.
[d] εἴδη Fl. B.C.
[e] μεσῳδικὸν] μεσωδιακὸν E.
[f] καὶ τὰ ἑξῆς desunt Fl.
[ff] τὴν ἔνδοσιν Fl.

6. ἐν ᾧ ἐστὶ μέρη τινὰ] Οἷον, μέρη τοῦ ποιήματος, εἴδη ὄντα τῶν κατὰ σχέσιν. τῶν γὰρ κατὰ σχέσιν εἰδῶν τὸ περιῳδικὸν, καὶ ἐπῳδικὸν, καὶ τἄλλα. εἰ οὖν τὰ μέρη τῶν κατὰ σχέσιν ἐκ διαφόρων εἰδῶν συγκέοιτο κατὰ ταυτὸν, τὸ κατὰ σχέσιν ῥηθήσεται μικτὸν κατὰ σχέσιν.

Γουνοῦμαί σ', ἐλαφηβόλε,
ξανθὴ παῖ Διὸς, ἀγρίων
δέσποιν' Ἄρτεμι θηρῶν,
[15]ἥ κου νῦν ἐπὶ Ληθαίου
δίνῃσι [16]θρασυκαρδίων
ἀνδρῶν [17]ἐσκατόρᾳς πόλιν
χαίρουσ'· οὐ γὰρ ἀνημέρους
ποιμαίνεις πολιήτας.

15 ἴκου] ἥ κου Bergk. Vide supra de Metr. c. I. 3.

16 θρεοκαρδίων] θρασυκαρδίων calx Turnebi. θρασκαρδίων vel θρεσκαρδίων E. bis enim fragmentum hoc in eo MS. legitur. θρασυκαρδίων Jo. Siceliota ap. Walz. Rhet. VI. p. 128.

17 ἐγκαθόρα] ἐσκατόρες E. vel ἐσκατόραις. ἐσκατορᾷς Bergk. ex Apollonio de Synt. I. 25. p. 55. ed. Bek.

στροφή· ὥστε Φερεκράτειον εἶναι τὸ τελευταῖον τοῦ συστήματος, τοῦ ἐκ τῶν τριῶν [f] κώλων ἢ τῶν πέντε.

ΚΕΦ. Θ'.

Δεδειγμένου δὲ ἡμῖν τινά ἐστι τὰ ἀπολελυμένα, φαμὲν εἴδη τούτων εἶναι τά τε ἌΣΤΡΟΦΑ, *καὶ τὰ* [g] ἈΝΟΜΟΙΌΣΤΡΟΦΑ, *καὶ* ἌΤΜΗΤΑ.

2 Ἄστροφα *μὲν οὖν ἐστι, τὰ τηλικούτου μεγέθους ὄντα ἐπ' ἐλάχιστον, ὡς μηδὲ στροφῆς ὅλης εἶναι αὐτὰ ὑπονοητικά.*

[f] *κώλων*] *κώλου* C.

[g] ἈΝΟΜΟΙΟΣΤΡΟΦΑ] Hæc apud Schol. Aristoph. Ran. 1295. maxima ex parte conspiciuntur. Legit autem pro *ἀνομοιόστροφα*, *ἀλλοιόστροφα*. Sed male: *ἀλλοιόστροφα* enim sunt genus tantum *ἀνομοιοστρόφων*. Fortasse hæc Hephæstionis verba accommodavit ad Aristophanis, quem illustrabat, locum: in eo enim sunt tria, *ᾠδή*, *σύστημα*, et *ᾠδή*, quæ tria inæqualia simul sumpta sunt *ἀλλοιόστροφα*. Hephæstionis, quæ præ manibus sunt, verba etiam adducit Triclinius de metr. Soph. Aj. p. 13. et pro *ἢ κατὰ ἄλλὸ ἐπιφώνημα*, habet *ἢ κατ' ἄλλὸ ἀναφώνημα*. Sed Hephæstionis *ἐπιφώνημα* malim quam ejus *ἀναφώνημα*. *Ἀλλοιοστρόφων* inter alia exemplum est ap. Eurip. in Hecub. v. 687. ad quod Schol. hæc metrici verba; sed ex parte tantummodo nim. usque ad illa: *ἢ κατὰ ἐφύμνιον*, &c. citat. ARNALDUS.

1. *τὸ τελευταῖον τοῦ συστήματος*] Ὅ ἐστιν [18] ἀντισπαστικὸν ἑφθημιμερὲς, οἷον τὸ τρίτον, Δέσποιν' Ἄρτεμι θηρῶν, τὸ τελευταῖον, Ποιμαίνεις πολιήτας, ὅπερ ἀπὸ τῆς ἀρχῆς ἐστὶν ὄγδοον.

8. *ὡς μηδὲ στροφῆς ὅλης εἶναι*] Ὡς εἰ τύχοι, τριῶν κώλων, ὥστε μὴ δύνασθαι εἰς στροφὰς διαιρεῖσθαι. [19] καίτοι εἰκῆ [20] γεγραμμένα. * ἀλλ' οὐδ' ἐν τὸ δυνατὸν τοῦ διαιρεῖσθαι ἔχοντος. ἀμοιβαῖον, ὥσπερ Ἠλέκτρα διαλέγεται πρὸς τὸν χορὸν παρὰ Σοφοκλεῖ· ἢ κατὰ ἐφύμνιον, [21] τὸ ἐπᾳδόμενον μέτρῳ τῷ προκειμένῳ· ἢ κατὰ ἐπῳδὸν, τὸ ἐπᾳδόμενον μέτρῳ τῷ προκειμένῳ, ἢ τοῖς προκειμένοις. εἰς δύο διαιρέσεις, ὡς τὸ, Φεῦ φεῦ, Ἰοὺ ἰού· ἔστι τοιοῦτον ἑτερόστροφον προειρημένου τοῦ τῆς διαιρέσεως τρόπου. ἐπὶ γὰρ δύο ἑτερόστροφα, καθ' ὃ ἐπὶ δύο, ἕτερος· ἐπὶ δὲ πολλῶν, [22] ἄλλος. ὥστε δύνασθαι διὰ ποσότητα κώλων πλειόνων ὄντων, τὸ ἐναντίον τῇ ἀντιστρόφῳ. τὰ τηλικούτου μεγέθους ὄντα, φησὶν, ἐπ' ἐλάχιστον, ὡς μηδὲ στροφῆς ὅλης εἶναι ὑπονοητικά. βραχυκατάληκτα, βραχυτέρου κώλου [23] ἐπιφοράν. τοῦτο γὰρ ὡσπερεὶ

18 *ἀντισπαστικὸν*] *ἀναπαιστικὸν* vulg.

19 *καίτοι εἰκῆ*] Sequentia valde sunt confusa, omissis Hephæstionis verbis quæ explicanda sumpserat Scholiastes.

20 *γεγραμμένα. ἀλλ' οὐδὲν* E.

21 *τὸ ἐπᾳδ.*] *τὸ θεὸν ἐπαδ.* E.

22 *ἄλλος*] *ἄλλος* E.

23 *ἐπιφορᾷ*] *ἐπιφοράν* E.

3 [h]Ἀνομοιόστροφα δέ ἐστιν, ὅσα πάντως διαιρεῖται ἢ κατὰ πρόσωπον ἀμοιβαῖον, ἢ χοροῦ πρὸς ὑποκριτὴν ἀπόκρισιν, ἢ κατὰ ἐφύμνιον, ἢ κατὰ [i]ἐπῳδὸν, ἢ κατ' ἄλλό τι [k]ἀναφώνημα. Διαιρεῖται δὲ ἤτοι εἰς δύο ἢ εἰς πλείω. Ἐὰν μὲν οὖν εἰς δύο διαιρεθῇ, καλεῖται [l]ἑτερόστροφον· ἐὰν δὲ εἰς πλείω, [m]ἀλλοιόστροφον.

4 Ἄτμητα δέ ἐστι, τὰ τηλικαῦτα ὥστε δύνασθαι μὲν τέμνεσθαι, μὴ μέντοι τεκμήριόν τι ὑπάρχειν τοῦ τὸν ποιητὴν αὐτὰ [n]τετμηκέναι, μήτε [o]βραχυκατάληξιν, [p]μήτε τι ἕτερον τῶν [q]διοριζόντων τὰ ποιήματα, οἷον ἐφύμνιον, ἢ [r]ἀναφώνημα.

h ἈΝΟΜΟΙΟΣΤΡΟΦΑ] Schol. Euripid. Orest. 1275. τὰ ἑξῆς ταῦτα εἴδη καλεῖται κυρίως ἀνομοιόστροφα, διὰ τὸ μὴ εἶναι κατὰ σχέσιν. ibid. 1355. ἀνομοιόστροφα, οὐ γὰρ ἔχει σχέσιν πρὸς τὸ ἑξῆς. ibid. 1530. Phœn. 103.

i ἐπωδὴν E.

k ἐπιφώνημα] Sic Turn. ἀναφώνημα Fl. B.C.S. Suidas: Σὺν δὲ θεοὶ μάκαρες: Τοῦτο ἐπέλεγον οἱ ῥαψῳδοί· ὡς οἱ κιθαρῳδοὶ Ἀλλ' ἄναξ χαῖρε· εἰσὶ γὰρ ἐπιφωνήματα παρὰ τοῖς παλαιοῖς ποιηταῖς. Hesychius, Νῦν δὲ θεοὶ μάκαρες: Τοῦτό φασιν ἐξόδιον εἶναι τραγῳδῶν. Νῦν δὲ θεοὶ μάκαρες τῶν ἐσθλῶν ἄφθονοι ἔστησαν. ubi ἔστε reponit Valesius, commode citans Eustath. Il. β'. [239, 18.] quem integrum apponam. Ἰστέον δὲ ὅτι ἐκ τοῦ ἀλλ' ἄναξ, ὅπερ ἐνταῦθα παρὰ τῷ ποιητῇ κεῖται, ἀρχή τις ἐξοδίου κιθαρῳδικοῦ τὸ, ἀλλὰ ἀλλ' ἄναξ, ὡς ἱστορεῖ Αἴλιος Διονύσιος. ὥσπερ φησὶ κωμικοῦ μὲν ἥδε, καλλιστέφανος, ῥαψῳδοῦ δὲ αὕτη, Νῦν δὲ θεοὶ μάκαρες τῶν ἐσθλῶν ἄφθονοί ἔστε· τραγικοῦ δὲ, πολλαὶ μορφαὶ τῶν δαιμονίων. Vid. et Zenob. Prov. V. 99. Mox πλείονα Turn. E.

l ἑτερόστροφον] Vid. Schol. Aristoph. Nub. 263. Pac. 382.

m ἀλλοιόστροφον] Vid. Schol. Aristoph. Ran. 1295. p. 137, 7. Pac. 942. Euripid. Orest. 140. 1240.

n τετμηκέναι deest Fl.

o βραχυκαταληξίαν Edd. MSS.

p μήτε τι] τι om. E.

q ὁριζόντων C.

r ἀναφώνημα] Legitur et προαναφώνημα in Schol. Aristoph. Pac. 1.657. προαναφώνησις ibid. 1191. in MS. Ven.

τεκμήριόν ἐστι μακροῖς ἐπενεχθέν. κατὰ περιορισμοὺς δὲ ἀνίσους, οἷα ἐστὶν ἡ εἰσβολὴ τῆς [23]Λευκαδίας Μενάνδρου. οἷον, βραχέος κώλου [24]ἐπιφοράν. οἷον, οὐ πάντα δίμετρα, ἀλλὰ τὰ μὲν δίμετρα, τὰ δὲ μονόμετρα καταληκτικά· εἰ γὰρ ἴσα εἴη τὰ διαιροῦντα, καὶ δι' ἴσων γένοιτο κώλων, γίνεται συστηματικὰ κατὰ σχέσιν.

23 Λευκαδίας Μενάνδρου] Vide fragmentum Menandri ex Strabone p. 452. apud Clericum p. 110 et Emend. Bentl. p. 45. ed. Cant. Meinek. Com. fragm. p. 926. ed. min. Adde Scaligerum ad Virgilii Catalecta p. 69. ed. Lugd. Bat. 1595.

24 ἐπιφορᾷ] ἐπιφορὰν E.

ΚΕΦ. Ι.

Τῶν δὲ ἐκ ὁμοίων, τὰ μέν ἐστιν ἀπεριόριστα, τὰ δὲ κατὰ [s]περιορισμοὺς ἀνίσους.

2 Ἀπεριόριστα μὲν, ὁπόσα [t]ὑπὸ τοῦ αὐτοῦ ποδὸς ἢ τῆς αὐτῆς συζυγίας καταμετρούμενα ἢ περιόδου περιγραφὴν οὐδεμίαν ἔχει μεταξὺ, ἀλλὰ μέχρι τῆς τελευταίας ὅμοιά ἐστι.

3 Κατὰ περιορισμοὺς δὲ ἀνίσους ἐστὶν, ὁπόσα ἐξ ὁμοίων συνεστῶτα ἔχει κατάληξιν ἢ [tt]βραχυκατάληξιν μεταξὺ, οὐ [u]μέντοι ἴσοις μεγέθεσι ταύτην ἐπιζευγνυμένην ἀεὶ, [v]οἷα μάλιστα φιλεῖ γενέσθαι ἐν ταῖς [w]παρόδοις τῶν

[s] περιορισμοὺς—ἀνίσους] Vid. Schol. Euripid. Hec. 59. Orest. 970.

[t] ὑπὸ] ἀπὸ E.

[tt] βραχυκατάληξιν D.E. ceteri βραχυκαταληξίαν.

[u] μέντοι] μὴν suprasc. E.

[v] οἷα] οἷον E.

[w] παρῳδοῖς Turn.

ib. παρόδοις] Schol. Aristoph. Vesp. 270. τῶν χορικῶν μελῶν τὰ μέν ἐστι παροδικὰ, ὡς τὸ, ἀέναοι νεφέλαι, ἀρθῶμεν φανεραὶ [Aristoph. Nub. 275.] καὶ τὸ προειρημένον ἐνταῦθα (Vesp. 230.) χώρει πρόβαιν' ἐρρωμένως. τὰ δὲ στάσιμα, ὡς τὸ παρόν (Vesp. 270.) καὶ παρ' Αἰσχύλῳ (Prom. 397.) στένω σε τᾶς οὐλομένας τύχας Προμηθεῦ. τὰ δὲ προῳδικὰ, τὰ δὲ μεσῳδικὰ, τὰ δὲ ἐπῳδικὰ—τὰ δὲ ἐξοδικὰ ἢ ὑποχωρητικὰ, ἅπερ ἐπὶ τῇ ἐξόδῳ τοῦ δράματος ᾄδεται, ὡς ἐν τῷ Πλούτῳ δράματι (1208.) Addo ex Cod. Reg. Bibl. Paris. 1773. p. 104. secundum Bastii apographum. Τῆς τραγικῆς ποιήσεως εἴδη εἰσὶ δέκα, πρόλογος, ἄγγελος, ἐξάγγελος, πάροδος, ἐπιπάροδος, στάσιμος, ὑπορχητικὸς, ἀμοιβαῖος, σκηνικός. Καὶ πρόλογος μὲν οὖν ἐστιν εἱρμὸς (εἰρημένος conj. Bast.) τὰ γεγονότα ἢ τὰ ἐσόμενα δηλῶν· ἄγγελος δὲ ἐστὶν ὁ τὰ ἔξω τῆς πόλεως πεπραγμένα τοῖς ἐκτὸς τῆς οἰκίας δηλῶν· πάροδος δέ ἐστὶν ᾠδὴ χοροῦ γινομένη ἅμα τῇ εἰσόδῳ, ὥσπερ ἐν Ὀρέστῃ, σῖγα σῖγα λευκὸν ἴχνος ἀρβύλης, καὶ ἐν Ἀλκμαίωνι τῷ διὰ Κορίνθου, φίλε, φίλε, πρόβατε, μόλε, τὶς ὅδε, ποδαπὸς ὁ ξένος Κορίνθιος ἔμολεν ἀγχίαλος· ἐπιπάροδος δέ ἐστιν ὅταν ἕτερος χορὸς ἀφικνῆται τοῦ προτέρου παρελθόντος· στάσιμος δὲ ὅταν χρὴ λέγειν στάσιμον, ὡς ἐν τῷ Ἱππολύτῳ Εὐριπίδης, Ὠκεανοῦ τις ὕδωρ πέτρα λέγεται· ὑπόρχημα δ' ἂν εἴη, ἐπὰν ὁ χορὸς ᾠδαρχεῖν λέγεται· τὸ δ' ἂν εἴη μᾶλλον τῶν Σατύρων, ἐκεῖνοι γὰρ ᾄδοντες ἅμα καὶ ὀρχοῦνται· ἀμοιβαῖος δέ ἐστι τὸ πρόλογον ἐξ ἀμοιβῆς λεγόμενον· σκηνικὸς δέ ἐστιν ὅταν τῶν ὑποκριτῶν εἷς εἰς ᾠδὴν φέρηται. Schol. Æschyli in Arg. ad Persas, τῶν δὲ χορῶν τὰ μέν ἐστι παροδικὰ, ὅτε λέγει δι' ἣν αἰτίαν πάρεστιν, ὡς τὸ

11. ἐν ταῖς παρόδοις] Οὕτως καλεῖται ἡ πρώτη τῶν χορῶν ἐπὶ τὴν σκηνὴν εἴσοδος.

χορῶν. Ἐκεῖ γὰρ μετὰ δέκα ἀναπαιστικὰ, [v] *λόγου χάριν, καὶ κατάληξιν, ἐπάγουσιν εὐθὺς ὅμοια μὲν καὶ ἀναπαιστικὰ, οὐ* [w] *μέντοι τῶν ἴσων συζυγιῶν.*

ΚΕΦ. ΙΑ′.

Ἔστι δέ τινα ἐν τοῖς ποιήμασι καὶ τὰ καλούμενα [x] ἐφύμνια, *ἅπερ ταύτης τῆς προσηγορίας τετύχηκεν,* [y] *ἐπειδὴ καὶ ἐφύμνιόν τι εἰώθασιν ἐπάγειν οἱ ποιηταὶ ταῖς στροφαῖς, οἷά ἐστι καὶ τὰ τοιαῦτα,*

Ἰήϊε παιάν.

καὶ,

Ὦ διθύραμβε.

Ὅταν δὲ τὸ ἐφύμνιον μὴ μετὰ στροφὴν ἀλλὰ μετὰ στίχον κέηται [z] *περιλαμβανόμενον ἄλλῳ στίχῳ,* μεσύμνιον *καλεῖται τὸ ποίημα, οἷόν ἐστι τὸ παρὰ Σαπφοῖ,* (Ursin. p. 11. Bergk. n. 91.)

[a] *ὕψι δὴ τὸ μέλαθρον,*
Ὑμήναον,
ἀέρρετε τέκτονες ἄνδρες·
Ὑμήναον,
γαμβρὸς ἔρχεται ἶσος Ἄρηϊ.

Τύριον οἶδμα λιποῦσα. *τὰ δὲ στάσιμα ὅτε ἵσταται καὶ ἄρχεται τῆς συμφορᾶς τοῦ δράματος· τὰ δὲ κομματικὰ ὅτε λοιπὸν ἐν θρήνῳ γίνεται.* Quæ conferas cum Aristot. Poët. c. 12.

[v] *λόγου χάριν—ἀναπαιστικὰ* om. Fl. *εὐθὺς ὅμοια μέντοι τῶν ἴ. σ.* C.

[w] *μέντοι*] *μὴν* Fl.

[x] ʼΕΦΥΜΝΙΑ] Vide Athenæum XV. p. 696 F. 700 C. Suidam vv. Βρεκεκὲξ. Ἰῆ. Schol. Aristoph. Ran. 211. 1307. Pac. 452. Spanhemium ad Callimach. H. Apoll. 98. Santen. ad Terent. Maur. p. 148. Ad Æschyl. S. Theb. 975. Ἰὼ Μοῖρα βαρυδότειρα Scholiastes adscribit Ἐφύμνιον. Iterum ad v. 986. et ad Eumen. 341. In Scholiis infra pro *μεγάλῳ στίχῳ* forte legendum *ἄλλῳ στίχῳ* ex Hephæst.

[y] *ἐπειδὴ καὶ*] *καὶ* om. S. Tum *τι* om. C.

[z] *παραλαμβ.*] *περιλαμβ.* C.

[a] *ὕψοι δὲ* Fl. *ἴσως ἄρει* Fl.

3. *τῶν ἴσων συζυγιῶν*] *Οἷον τῶν ἰσοκώλων, ἐπεὶ γίνεται κατὰ σχέσιν· μέχρι δὲ τῶν ἐνταῦθα διαίρεσις.*

5. *τὰ καλούμενα ἐφύμνια*] *Ταῦτα καὶ τὰ μέτρα διαιρεῖν εἰώθασι.*

12. *μὴ μετὰ στροφὴν*] *Οἷον, μεταξὺ δύο στίχων, ὡς τὰ μεσῳδικὰ, ὑπὸ τῆς ἐπῳδοῦ. μεγάλῳ στίχῳ, ἀντισπαστικῷ ἢ ἀναπαιστικῷ.*

ΚΕΦ. ΙΒ.

Εἰσὶ δὲ [b] ἐν τοῖς ποιήμασι καὶ [οἱ] ἀρρενικῶς οὕτω καλούμενοι ἐπῳδοὶ, ὅταν μεγάλῳ στίχῳ περιττόν τι ἐπιφέρηται, οἷον, [Archiloch. 92. Bergk.]

Πάτερ Λυκάμβα, ποῖον ἐφράσω τόδε;
τίς σὰς [bb] παρήειρε φρένας;

καὶ ἔτι, [Archiloch. 102. Bergk.]

[c] Εὖτε πρὸς ἄεθλα δῆμος ἠθροΐζετο,
ἐν δὲ Βατουσιάδης.

2 Ὅταν δὲ ἔμπαλιν ἡ τάξις ᾖ, προῳδὸς καλεῖται, ὡς παρ' Ἀνακρέοντι, (Fr. 19 Bergk.)

ἀρθεὶς δ' ηὖτ' ἀπὸ Λευκάδος
πέτρης, ἐς πολιὸν κῦμα κολυμβῶ μεθύων ἔρωτι.

3 Ὥσπερ δὲ ταῦτα εὑρίσκεται, οὕτω γένοιντ' ἂν [d] τινες καὶ μεσῳδοὶ, ὅταν περιέχῃ μέν τι [e] μεῖζον, μεταξὺ δὲ τὸ μεῖον ᾖ τεταγμένον.

Fulvius Ursinus ὕψι δὴ et ἄρηι. ὕψι. μετέωρον. ἄνω. ὑψηλοῦ. apud Hesych. Suid. et sic apud poetas sæpius. Portus quoque ὑψιδή. Sic recte edidit Wolfius. Sic extat apud Demetrium Phalereum de Eloc. §. cxlviii. quem ignoravit Pavus, qui pro auctoritate, ὑψοῖ idem quod ὑψοῦ. Porro Demetrius quoque recte habet ἄρηι, et præterea εἰσέρχεται. D'ORVILL. ὑψοῖ E. ὕψοι C.P.S. ἀείρατε E. Fl. Turn. ἀείρετε C. ἀείρηται P. Hunc versum, voce Ὑμέναιον ejecta, in exemplum hexametri Æolici adducit Bentleius post Horatium p. 710. Ὕψι | δὴ τὸ μέλαθρον ἀέρρετε, τέκτονες ἄνδρες. Tum Edd. MSS. habent ὑμήναον. Deinde Ἄρεϊ E. Leg. Ἄρευι. Ceterum totum Sapphonis locum sic refictum a Bergkio legas inter Walzii Rhetor. T. IX. p. 68. Ὕψοι δὴ τὸ μέλαθρον ἀέρρετε τέκτονες ἄνδρες· Γαμβρὸς ἐσέρχεται ἴσος Ἄρῃ, μεγάλω πολὺ μείζον, Πέρροχος, ὡς ὅτ' ἀοιδὸς ὁ Λέσβιος ἀλλοδαποῖσιν.

[b] ἐν τοῖς] οἱ ἐν τοῖς E.

[bb] παρήειρε] περίηρε Fl. B. παρέπειρε C.

[c] Εὖτε] Sic citat Bentleius ad Horatii Ep. I. xix. 29. Edd. et MSS. quidam εὖ τοι. C.E.P.S. habent εὖ τι.

[d] τίνες C.E. Turn. abest a ceteris.

[e] μεῖζον] μείζω C.P.S. μέντοι μεῖζον Fl. et infra τὸ τεταγμένον.

10. Ὅταν δὲ ἔμπαλιν] Οἷον ὅταν τὸ βραχὺ προτάττηται.

ib. ΠΡΟΩΙΔΟ'Σ] Προτέτακται γὰρ ὁ ἐπῳδός· ἀντισπαστικὰ γάρ εἰσιν· οἷον τὸ μὲν ἡγούμενον, δίμετρον ἀκατάληκτον· τὸ δὲ ἑπόμενον, τετράμετρον ἀκατάληκτον.

15. ὅταν περιέχῃ μέντοι] Ὡς τὰ μεσῳδικὰ, καὶ τὰ ἐφύμνια· διαφόρως ταῦτα τὰ ἐφύμνια συνέχειαν φυλάττουσι πρὸς τὰς στροφὰς, τὰ δὲ ἐπιφθέγματα, οὔ.

ΚΕΦ. ΙΓ.

Ἔστι δέ τινα καὶ τὰ καλούμενα ἐπιφθεγματικά, ἃ διαφέρει ταύτῃ τῶν ἐφυμνίων, ὅτι τὰ μὲν ἐφύμνια καὶ πρὸς νοῦν συντελεῖ, [f]τὰ δὲ ἐπιφθεγματικὰ [g]ἐκ περιττοῦ, ὡς πρὸς τὸ λεγόμενον, τῇ στροφῇ πρόσκειται· οἷον τὸ [h]Βακχυλίδου, (Ursin. p. 203. Bergk. n. 25.)

ἦ καλὸς Θεόκριτος, οὐ [i]μόνος ἀνθρώπων [k]ἐρᾷς,

καὶ πάλιν παρὰ τῷ αὐτῷ Βακχυλίδῃ,

σὺ δ' ἐν χιτῶνι [l]μούνῳ παρὰ τὴν φίλην γυναῖκα φεύγεις.

2 Ὅταν μὲν οὖν βραχέα ᾖ τὰ ἐπιφθεγματικά, τοῦτο πρόσεστιν αὐτοῖς [m]μόνον· ἐὰν δὲ καὶ τηλικαῦτα ὥστε στροφὴν ἐκπληροῦν, καὶ προτετάχθαι μὲν τὴν τοῦ ποιητοῦ στροφήν, ἐπιζεῦχθαι [n]δὲ τὴν τῶν ἐπιφθεγμάτων, εἶτα πάλιν τὰ ἴσα κατὰ τὸν αὐτὸν λόγον, [o]ἔσται τὸ τοιοῦτον σύστημα κατὰ περικοπὴν [p]ἀνομοιομερές.

ΚΕΦ. ΙΔ.

Ἔστι δέ τις ἐν ταῖς κωμῳδίαις καὶ ἡ καλουμένη [q]ΠΑΡΆΒΑΣΙΣ, ἥ τις ἐὰν τελεία γράφηται, ἐστὶν αὐτῆς

f τὰ δὲ] τίνα δὲ P.E.S.

g καὶ ἐκ] καὶ deest Fl. B.C.P.S.

h Βακχυλίδου] Βακχυλλίδου E. et sic infra.

i μόνος] μόνον C. Dederam in priore ed. μοῦνος, nescio unde hodie.

k ἐρᾷς] Sic Fulvius Ursinus, et Bentleius. ὁρᾷς edd. MSS.

l μούνῳ] μόνῳ E.

m μόνον] Hermannus conjicit ὄνομα. Pro τηλικαῦτα Fl. mox exhibet τοιαῦτα.

n δὲ τὴν] τὴν om. E. Mox ἴσα sine τὰ C.

o ἔσται] γὰρ addit Fl. et E. inter lineas.

p ἀνομοιομερές (ῆς) E. ἀνομοιομερῆ Fl.

q Grammatico nostro lucem haud exiguam hic loci affundet Pollux IV. 111. deinceps exscribendus: Τῶν δὲ χορικῶν ᾀσμάτων τῶν κωμικῶν ἕν τι καὶ ἡ παράβασις, ὅταν ἃ ὁ ποιητὴς πρὸς τὸ θέατρον βούλεται λέγειν, ὁ χορὸς παρελθὼν λέγῃ ταῦτα. Ἐπιεικῶς δὲ αὐτὸ ποιοῦσιν οἱ κωμῳδοποιηταί, τραγικὸν δὲ οὐκ ἔστιν, ἀλλ' Εὐριπίδης αὐτὸ πεποίηκεν ἐν πολλοῖς δράμασιν. Ἐν μέν γε τῇ Δανάῃ, τὸν χορὸν τὰς γυναῖκας ὑπὲρ αὐτοῦ τι ποιήσας παρᾴδειν, ἐκλαθόμενος, ὡς ἄνδρας λέγειν ἐποίησε τῷ σχήματι τῆς λέξεως τὰς γυναῖκας. Καὶ Σοφοκλῆς δὲ αὐτὸ ἐκ τῆς πρὸς ἐκεῖνον ἁμίλλης ποιεῖ σπανιάκις, ὥσπερ ἐν Ἱππόνῳ. Τῆς μέντοι παραβάσεως τῆς κωμικῆς ἑπτὰ ἂν

[r]μέρη ἑπτά. Καλεῖται δὲ παράβασις, ἐπειδὴ εἰσελθόντες εἰς τὸ θέατρον καὶ [s] ἀντιπρόσωποι ἀλλήλοις στάντες οἱ χορευταὶ παρέβαινον, καὶ εἰς τὸ θέατρον ἀποβλέποντες ἔλεγόν τινα.

2 Τὰ δὲ [t]μέρη τῆς παραβάσεώς [u]ἐστι ταῦτα· [v]ΚΟΜΜΆΤΙΟΝ, ὃ καὶ παρὰ τοῖς παλαιοῖς ποιηταῖς [w]οὕτως [x]ὠνομάσθη· φησὶ γὰρ [y]Εὔπολις,

[z]Εἰωθὸς τὸ κομμάτιον τοῦτο·

δεύτερον [a]δέ, ἡ ὁμωνύμως τῷ [b]γένει καλουμένη ΠΑΡΆΒΑΣΙΣ· καὶ τρίτον, τὸ [c]ΜΑΚΡῸΝ προσαγορευόμενον, ὃ καὶ φαμὲν εἶναι [d]ἐπιμηκέστερον· οὐ μὴν ἀλλὰ καὶ διὰ τὸ ἀπνευστὶ λέγεσθαι ἐδόκει εἶναι μακρότερον.

εἴη μέρη, κομμάτιον, παράβασις, μακρὸν, στροφὴ, ἐπίρρημα, ἀντίστροφος, ἀντεπίρρημα. [r]Ὧν τὸ μὲν κομμάτιον καταβολή τις ἐστὶ βραχέος μέλους· ἡ δὲ παράβασις, ὡς τὸ πολὺ μὲν ἐν ἀναπαίστῳ μέτρῳ, εἰ δ' οὖν καὶ ἐν ἄλλῳ, ἀνάπαιστα τὴν ἐπίκλην ἔχει. Τὸ δὲ ὀνομαζόμενον μακρὸν ἐπὶ τῇ παραβάσει βραχὺ μελύδριόν ἐστιν, ἀπνευστὶ ᾀδόμενον. Τῇ δὲ στροφῇ ἐν κώλοις προσᾳσθείσῃ τὸ ἐπίρρημα ἐν τετραμέτροις ἐπάγεται. Καὶ τῆς ἀντιστρόφου τῇ στροφῇ ἀντᾳσθείσης, τὸ ἀντεπίρρημα, τελευταῖον ὃν τῆς παραβάσεως, ἐστὶ τετράμετρα, οὐκ ἐλάττω τὸν ἀριθμὸν τοῦ ἐπιρρήματος. "Quum suo nomine populum al-"loqui poeta vult, per Chorum "id facit, et Παράβασις dicitur, "cujus generis plures exstant in "Aristophane. Nunquam autem "tum iambicis utebatur chorus, "sed semper anapæstis, vel te-"trametris." Bentleius Dissert. Phalar. p. 111. ed. Lennep. p. 204. ed. 1699. Vide Schol. ad Aristoph. Nub. 510. 518. Ran. 686. 698. Eq. 496. 501. 505. Pac. 733. Prolegom. de Comœdia ap. Dindorf. p. 20.

[r] μέρη Fl. B.E. suprasc. Vid. infra xv, 7. εἴδη C. Turn. ἀντι ον

[s] ἀντιπρόσωποι] αὐτοπρόσωποι E.

[t] μέρη Fl. B. εἴδη C. Turn.

[u] ἐστι] εἰσι E.

[v] ΚΟΜΜΆΤΙΟΝ] Schol. Aristoph. Nub. 510. διὰ τὸ προτίθεσθαι τῆς παραβάσεως κατὰ τὸ ἔθος ὀνομάζεται κομμάτιον. Vid. Schol. ad Eq. 496. 501. Av. 677. Pac. 728. Vesp. 1003. Τοῦτο κομμάτιον καλεῖται, ὅπερ ἐστὶ προκήρυγμα τῆς παραβάσεως.

[w] οὕτως om. C.E.S. Turn.

[x] ὠνομάζετο] ὠνομάσθη Turn. C. E.S.

[y] Εὔπολις] ὁ Εὔπολις E.S. n. 332. Meinek.

[z] Εἰωθὼς C.

[a] δὲ εἶδός ἐστιν Turn.

[b] γένει] Sic Turn. C. ὅλῳ Fl. et alii.

[c] ΜΑΚΡΌΝ] Alio nomine πνῖγος Schol. Aristoph. Nub. 518 Exempla pete ex Aristoph. Eq. 507 seqq. Vide Schol. ad v. 501. Pac. 734 seqq. Coll. Schol. ad v. 728. Av. 724.

[d] ἐπιεικέστερον Fl. B.C.E. pro v. l.

3 Ταῦτα μὲν οὖν ἐστὶν ἀπολελυμένα. Ἕτερα δέ ἐστι τὰ κατὰ σχέσιν γεγραμμένα, τό τε [e] ΜΈΛΟΣ, καὶ τὸ [f] ἘΠΊΡΡΗΜΑ, ὅπερ ὡς ἐπὶ τὸ πλεῖστον ἑκκαίδεκα ἦν στίχων, καὶ [g] τὸ τῷ μέλει ἈΝΤΊΣΤΡΟΦΟΝ· καὶ τὸ καλούμενον ἈΝΤΕΠΊΡΡΗΜΑ, ὅπερ ἦν τῶν [h] ἴσων κώλων τῷ ἐπιρρήματι.

ΚΕΦ. ΙΕ.

[i] ΠΕΡΙ ΣΗΜΕΙΩΝ.

Τὰ [k] σημεῖα τὰ παρὰ τοῖς ποιηταῖς ἄλλως παρ' ἄλλοις κεῖται· λέγω δὲ, ὁποῖά ἐστιν ἥ τε ΠΑΡΑΓΡΑΦΟΣ —,

[e] ΜΈΛΟΣ] Idem fortasse quod *στροφὴν* vocat Schol. Aristoph. Eq. 501. Idem ad Nub. 946. *εἴσθεσις μέλους χοροῦ προῳδική, στροφῆς λόγον ἔχουσα.* Vid. et ad Pac. 345.

[f] Etymologus M. p. 363, 46. *Ἐπιρρήματα. Ἐν τοῖς χορικοῖς, ὅτε συστροφὴν ᾄσειαν μέλος, ἐπελέγετο ποιημάτιον ιϛ' στίχων· εἶτα τὴν ἀντίστροφον ἀποδόντες, ἐπελέγετο πᾶν τετράμετρον ποιημάτων τῶν ἴσων στίχων. Ἐκαλοῦντο δὲ ταῦτα ἐπιρρήματα.* Ubi cum Sylburgio legendum, *ὅτε τὴν στροφὴν ᾄσειαν,* et *ἐπελέγετο πάλιν τετράμετρον ποιημάτιον τ. ἴ. σ.* quemadmodum fere extat apud Argumentum Aristoph. Nub. Vide etiam Pollucis locum paullo ante citatum. Schol. Aristoph. Nub. 576. *τοῦτο ἐπίρρημα καλεῖται διὰ τὸ ἐπιρρέπειν αὖθις τὸν χορὸν πρὸς τοὺς θεατὰς, καὶ χρηστά τινα συμβουλεύειν αὐτοῖς, ἢ σκώπτειν τοὺς πονηρούς.* et ad Ran. 357. *ἔθος ἐν τῷ ἐπιρρήματι χρηστὰ συμβουλεύειν τῇ πόλει ἢ ἐλέγχειν τοὺς πονηρευομένους.* item ad Vesp. 1066. *τὸ δὲ ἐπίρρημα ὡς ἐπίπαν ὀκτωκαίδεκα στίχων ἢ ιβ' ἢ ιϛ'· ἐνθάδε δὲ εἴκοσι.*

[g] τὸ τῷ] τὸ om. E.

[h] ἴσων κώλων] Vid. Schol. Aristoph. Nub. 607. Vesp. 1097.

[i] Vid. Schol. ad Aristoph. Plut. 253. De his signis eruditissime agit Villoisonus in Prolegomenis ad Homerum, p. xiii. seqq. qui et hoc caput edidit e Codice Veneto p. lix. Vide præcipue, quorum non oblitus est Villoisonus, Viros doctos ad Ciceronis Ep. ad Atticum VIII. 2. p. 751. ed. Grævii. Casaubonum et Menagium ad Diogen. Laërt. III. 65. Lectu etiam dignissima Noltenius, in re non multum dissimili, habet in *Lexico Antibarbaro* parte Orthograph. v. *Signa distinctionis.* Multa de hisce signis dedit Osannus in *Anecdoto Romano de notis veterum criticis. Gissæ,* 1851. 8vo.

[k] Τὰ σημεῖα παρὰ τοῖς ποιηταῖς ἄλλοις ἄλλως κ. Fl.

8. Τὰ σημεῖα] Sequentia descripsi ex S. fol. 32 b. *Ταῦτα εὕρηται ἔν τινι παλαιῷ βιβλίῳ.—Τοῖς παρ' Ὁμήρῳ στίχοις σημεῖα παρακεῖται τάδε. Διπλῆ καθαρὰ* >. *διπλῆ περιεστιγμένη* >̇ . *ὄβελος* — *ὄβελος σὺν ἀστερίσκῳ* — ⋇. *ἀντίσιγμα* Ͻ. *κέρεα* ā̂ *τοῦ* ā ./. *ὦ πλάγιον. ἡ μὲν οὖν διπλῆ καθαρὰ παρά-*

καὶ ἡ ΚΟΡΩΝῚΣ ¬, *καὶ ἡ* ἜΣΩ ΝΕΝΕΥΚΥῖΑ ΔΙΠΛΗ͂ <, *καὶ ἡ* ἜΣΩ >, *καὶ ὁ* ἈΣΤΕΡΊΣΚΟΣ ※, *καὶ εἴ τι ἄλλο τοιοῦτον.*

2 Παρὰ [l]*μὲν οὖν τοῖς λυρικοῖς, ἂν μὲν μονόστροφον τὸ ᾆσμα ᾖ, καθ' ἑκάστην τίθεται στροφὴν ἡ παράγραφος, εἶτα ἐπὶ τέλους τοῦ ᾄσματος ἡ κορωνίς. Ἐὰν δὲ κατὰ περικοπὴν τὰ ᾄσματα ᾖ γεγραμμένα, ὥστε εἶναι στροφὴν καὶ* [m]*ἀντιστροφὴν καὶ ἐπῳδὸν, ἡ παράγραφος μὲν* [n]*ἐπὶ τῷ τέλει* [o]*τῆς στροφῆς καὶ* [p]*ἀντιστρόφου κεῖται, ἐπὶ δὲ τῇ* [q]*ἐπωδῷ ἡ κορωνίς· καὶ οὕτως ἡ παράγραφος, ἣ διορίζει τά τε ὅμοια καὶ τὰ ἀνόμοια.*

3 Ἐπὶ *μέντοι τῷ τέλει τίθεται ὁ ἀστερίσκος, γνώρισμα τοῦ* [r]*τετελέσθαι τὸ ᾆσμα, ἐπεὶ ἡ κορωνὶς ἐπὶ πασῶν τίθεται τῶν ἐπῳδῶν.* Καὶ *μάλιστα εἴωθεν ὁ ἀστερίσκος*

[l] *μὲν οὖν*] *οὖν* om. C.E.
[m] *ἀντιστροφὴν*] *ἀντίστροφον* E.S.
[n] *ἐπὶ τὶ τέλους* Fl.
[o] *τῆς*] *τῆς τε* E.S.
[p] *ἀντιστροφῆς* Fl.
[q] *ἐπωδῷ*] *ἐπωδῇ* E. *τῷ ἐ.* C.
[r] *τετελέσθαι* C. *τετέλεστου* Fl. *τετελειῶσθαι* E. Turn.

κειται πρὸς τὴν ἅπαξ εἰρημένην λέξιν, πρὸς τὴν τοῦ ποιητοῦ συνήθειαν, πρὸς τοὺς λέγοντας μὴ εἶναι τοῦ αὐτοῦ ποιητοῦ Ἰλιάδα καὶ Ὀδύσσειαν, πρὸς τὰς τῶν παλαιῶν ἱστορίας, πρὸς τὰς τῶν νέων ἐκδοχὰς, πρὸς τὴν Ἀττικὴν σύνταξιν, πρὸς τὴν πολύσημον λέξιν. Πρὸς μὲν οὖν τὴν ἅπαξ εἰρημένην λέξιν, μάντι κακῶν, οὔπω ποτέ 'μοι τὸ κρήγυον ἔειπες· ἅπαξ γὰρ εἴρηται. καὶ ἐπὶ τῶν λοιπῶν σημείων ὡσαύτως ἃ δεῖ τιθέναι.—Ἐν ἄλλῳ οὕτως.—Τὰ παρατιθέμενα τοῖς Ὁμηρικοῖς στίχοις σημεῖον (sic), *ἀναγκαῖον γνῶναι τοὺς ἐντυγχάνοντας· εἰσὶ δὲ ταῦτα· διπλῆ ἀπερίστικτος* >. *διπλῆ περιεστιγμένη* ⸖ *ὄβελος* — *ὄβελος μετ' ἀστερίσκου*— ※— *ἀστερίσκος καθ' ἑαυτὸν* ※ *ἀντίσιγμα ἄστικτον* Ↄ. *ἀντίσιγμα περιεστιγμένον* ⸿· *Ἡ μὲν οὖν ἀπερίστικτος διπλῆ τίθεται πρὸς ἱστορίας καὶ σχηματισμοὺς καὶ ἑτέρας ποικίλας χρείας, καὶ πρὸς τὰς ἅπαξ εἰρημένας λέξεις, καὶ πρὸς τὰ ἐναντία καὶ μαχόμενα τῶν ὀνομάτων. Ἡ δὲ περιεστιγμένη διπλῆ, πρὸς τὰς Ζηνοδότου καὶ Κράτητος γραφὰς καὶ αὐτοῦ Ἀριστάρχου. Ὁ δὲ ὄβελος πρὸς τὰ νόθα καὶ ἀθετούμενα. Ὁ δὲ μετὰ ὀβέλου ἀστερίσκος, ἔνθα εἰσὶ μὲν τὰ ἔπη τοῦ ποιητοῦ, οὐκ ἄλλως* (sic) *δὲ κεῖνται καὶ ἐν ἄλλῳ. Ὁ δὲ καθ' ἑαυτὸν ἀστερίσκος, ἔνθα καλῶς εἴρηνται τὰ ἔπη ἐν αὐτῷ τῷ τρόπῳ* (sic) *ἔνθα κεῖνται. Τὸ δὲ καθ' ἑαυτὸ ἀντίσιγμα, ὅταν ταυτολογῇ, καὶ τὴν αὐτὴν διάνοιαν δεύτερον λέγῃ:—*

Ἰστέον, ὅτι αἱ ῥαψῳδίαι Ὁμήρου παρὰ τῶν παλαιῶν κατὰ συνάφειαν ᾔδῶντο κορωνίδι μόνῃ διαστελλομένη (sic), *ἄλλῳ δὲ οὐδενί. τῆς δὲ κορωνίδος τοῦτό ἐστι τὸ σημεῖον* ⸎. *λέγεται δὲ κατὰ μεταφορὰν ἀπὸ τῆς ἐν τοῖς πλοίοις ἀνακεκαμμένης κορωνίδος.* Adde Tzetzem in Crameri An. Paris. I. p. 72. His signis suam Sophoclis editionem ornavit Turnebus.

τίθεσθαι, ἐὰν ἑτερόμετρον ᾖ τὸ ᾆσμα τὸ ἑξῆς· ὃ καὶ μᾶλλον ἐπὶ τῶν ποιημάτων τῶν μονοστροφικῶν γίνεται Σαπφοῦς τε καὶ Ἀνακρέοντος καὶ Ἀλκαίου· ἐπὶ δὲ [s]τῶν Ἀλκαίου ἰδίως, κατὰ μὲν τὴν [t]Ἀριστοφάνειον ἔκδοσιν, [u]ἀστερίσκος ἐπὶ ἑτερομετρίας ἐτίθετο μόνης· κατὰ δὲ τὴν [x]νῦν τὴν Ἀρισταρχεῖον, καὶ ἐπὶ ποιημάτων [y]μεταβολῆς.

4 [z]*Καὶ ἡ μὲν διπλῆ, ἡ ἔξω βλέπουσα, παρὰ μὲν τοῖς Κωμικοῖς καὶ [a]τοῖς Τραγικοῖς ἐστὶ πολλή· παρὰ δὲ τοῖς Λυρικοῖς σπανία· [b]παρὰ Ἀλκμᾶνι γοῦν εὑρίσκεται. [c]Ἔγραψε γὰρ ἐκεῖνος δεκατεσσάρων στροφῶν ᾄσματα· ὧν τὸ μὲν ἥμισυ τοῦ αὐτοῦ μέτρου ἐποίησεν ἑπτάστροφον· τὸ δὲ ἥμισυ, ἑτέρου· καὶ διὰ τοῦτο ἐπὶ ταῖς ἑπτὰ στροφαῖς [d]ταῖς ἑτέραις τίθεται. Ἡ δὲ διπλῆ σημαίνει τὸ μεταβολικῶς τὸ ᾆσμα γεγράφθαι.*

5 *Τούτοις τοῖς σημείοις τοῖς προειρημένοις, πλὴν τοῦ ἀστερίσκου, καὶ ἑτέροις τισὶ περὶ ὧν λέξομεν, ἐν τοῖς δράμασι χρώμεθα. Τῇ μὲν οὖν κορωνίδι, κατὰ τρόπους τρεῖς· ἤτοι ὅταν τῶν ὑποκριτῶν εἰπόντων τινὰ καὶ ἀπαλλαγέντων [e]καταλείπηται ὁ χορός· ἢ ἔμπαλιν· ἢ ὅταν μετάβασις ἀπὸ τόπου εἰς τόπον γίνεσθαι δοκῇ τῆς σκηνῆς. Τῇ δὲ παραγράφῳ, ἤτοι κατὰ πρόσωπα ἀμοιβαῖα, ἔν τε τοῖς ἰαμβικοῖς καὶ τοῖς χορικοῖς, μεταξὺ τῆς*

[s] *τῶν* sic C. *τοῦ* alii. De h. l. vide Nauckium ad Fragm. Aristoph. Byzant. p. 17.

[t] De Aristophane Byzantino, Critico perillustri, erudite agit F. A. Wolfius in Prolegomenis ad Homerum §. xliv. p. ccxvi. et seqq. De Aristarcho vide eundem capite sequente. De iisdem nonnulla dedit F. Stoeckerus in Diss. de Sophoclis et Aristophanis interpretibus Græcis p. 6.

[u] *ἀστερίσκος*] *ὁ ἀστερίσκος* E. Mox *μόνος* Fl.

[x] *νῦν τὴν* suprasc. E.

[y] *μεταβολῆς*] *μεταβολῇ* E.

[z] *ἡ δὲ διπλῆ* Turn. C.E.

[a] *τοῖς τραγικοῖς ἐστι*] *τοῖς* et *ἐστι* om. E.

[b] *παρὰ*] *καὶ παρὰ* E.

[c] *γράψας* C.E. in textu.

[d] *ταῖς ἑτέραις τίθεται ἡ διπλῆ, σημαίνουσα τὸ μ.* Turn. E. in textu. *σημαίνουσᾳ* C.

[e] *καταλείπεται* Turn. *καταλίπηται* C.

τε στροφῆς καὶ τῆς [f]ἀντιστρόφου. Ἐὰν μέντοι ἡ [g]στροφὴ ἐξ ἀμοιβαίων τυγχάνῃ συγκειμένη, οὐκ ἐξαρκεῖ [h]πρὸς τὸ δηλῶσαι ὅτι πεπλήρωται ἡ [i]στροφὴ ἡ [k]παράγραφος, ἐπιφερομένης ἄλλης στροφῆς· ἐπεὶ καὶ ἐφ' ἑκάστου κώλου οὐδὲν ἧττον τίθεται· ἀλλὰ κεῖται καὶ ἡ ἔσω νενευκυῖα διπλῆ· τοῦτο δὲ, ἐὰν ἀντίστροφος ἐπιφέρηται· ὡς ἐάν γε μεταβολὴ μόνον ᾖ [l]στροφῶν ἡ ἔξω βλέπουσα τίθεται.

6 Εἰπόντων δὲ ἡμῶν ὅτι [m]ἐστὶ τινὰ κατὰ περιορισμοὺς ἀνίσους ἀναπαιστικὰ γεγραμμένα, ἃ [n]δὴ ἐν παρόδῳ ὁ χορὸς λέγει, ἐφ' ἑκάστου περιορισμοῦ τίθεται ἡ παράγραφος.

7 Τῆς δὲ παραβάσεως μερῶν ὄντων [o]ἑπτὰ, ἐπὶ ἓν ἕκαστον τῶν ἀπολελυμένων τριῶν τίθεται ἡ παράγραφος, τοῦ κομματίου, καὶ τῆς παραβάσεως, καὶ τοῦ μακροῦ· οὐδὲν ἧττον δὲ καὶ ἐπὶ τοῦ μέλους, καὶ τοῦ ἐπιρρήματος, ἂν μηδὲν [p]ἀνταποδιδῶται. [q]Ἐὰν δὲ ἐνῇ [r]τὰ ἀνακυκλούμενα, τό τε ἀντίστροφον τοῦ μέλους καὶ τὸ ἀντεπίρρημα, ἐπὶ τοῦ ἐπιρρήματος τίθεται ἡ ἔσω νενευκυῖα διπλῆ, ὑπὲρ τοῦ δηλῶσαι ὅτι ἐστὶ τὰ ἀνταποδιδόμενα· ἐπὶ δὲ τοῦ ἀντεπιρρήματος ἡ ἔξω νενευκυῖα.

8 Εἰώθασι τοίνυν αὐτοὶ οἱ δραματοποιοὶ μεταξὺ ἰαμβείων τινῶν γράφειν ἑτέρῳ μέτρῳ [rr]ὁποσασοῦν στροφάς· εἶτα πάλιν περάναντες δι' ἰαμβείων τὸ προκείμενον, [s]κατὰ διέχειαν ἀνταποδιδόναι τὰς στροφάς. Ἐφ'

[f] ἀντιστροφῆς Fl. B. τῆς om. E.
[g] στροφὴ] γρ. ἀναστροφὴ E. suprasc.
[h] προσδηλῶσαι C.
[i] γραφὴ C.
[k] παράγραφος] παράγραπτος E.
[l] στροφῆς Turn. E. textu. Supra μόνων C.
[m] ἔστι] ἔσται E. textu.
[n] δὴ] δὴ καὶ E.
[o] ἑπτὰ] Vid. Schol. Aristoph. Nub. 518. Mox τῶν τριῶν Fl.
[p] ἀνταποδιδῶται C.E. ἀναποδιδῶνται Fl. αὐτῷ ἀποδιδῶται Turn.
[q] εἰ δὲ εἴη Fl. ἐὰν δὲ ἔνι C.
[r] τὰ ἀνακλώμενα Turn. τὰ ἀνακαλούμενα E.
[rr] ὅπως οὖν Fl.
[s] κατὰ διέχειαν] κατὰ om. Fl. Schol. metr. ad Aristoph. Pac.

ἑκαστῆς [u] οὖν στροφῆς τίθεται παράγραφος· ἐν δὲ ταῖς προτέραις στροφαῖς ἐπὶ τοῦ τελευταίου κώλου δύο τίθενται διπλαῖ· ἡ μὲν κατ' ἀρχὰς ἔξω βλέπουσα, ἡ δὲ [x] κατὰ τὸ τέλος ἔσω νενευκυῖα· δηλούντων ἡμῶν διὰ τῆς ἔσω βλεπούσης ὅτι ἀνταποδίδοται τινὰ αὐτοῖς· ἐν δὲ τοῖς ἀνταποδιδομένοις, [y] παλιν ἐφ' ἑκαστῆς στροφῆς, παράγραφος· ἐπὶ δὲ τοῦ τελευταίου κώλου, δύο διπλαῖ, ἡ μὲν κατ' ἀρχὰς, ἡ δὲ κατὰ τὸ τέλος· ἀμφότεραι μέντοι ἔξω νενευκυῖαι· διὰ τούτων δηλούντων ἡμῶν ὅτι ἀνταποδίδοται.

938. ἕπεται μέλος, ὃ ὑπονοῶ μὲν ἔχειν τὸ ἀντίστροφον ἐν διεχείᾳ. Vid. v. 1027. συνέχειαν Turn. E. pro διέχειαν.

[u] οὖν] μὲν οὖν E.
[x] κατὰ] μετὰ E.
[y] πάλιν] πάλιν μὲν C.E.

[a]ΕΚ ΤΩΝ

ΛΟΓΓΙΝΟΥ ΤΟΥ ΦΙΛΟΣΟΦΟΥ

ΤΑ

ΠΡΟΛΕΓΟΜΕΝΑ

ΕΙΣ ΤΟ ΤΟΥ

ΗΦΑΙΣΤΙΩΝΟΣ ΕΓΧΕΙΡΙΔΙΟΝ.

1 ᾿Αλλ' [b]εἴτε νέα τῶν μέτρων ἡ θεωρία, εἴτε Μούσης [c]εὕρημα παλαιᾶς, ἑκάτερον ἕξει καλῶς. ᾿Αρχαία μὲν γὰρ οὖσα, ἐκ τῆς

[a] Hæc integrius exhibentur ex Longini ed. Hudsoniana. Mutila sunt in edd. et MSS. Hephæstionis.

[b] Præcesserat nempe aliquid de artis metricæ antiquitate. BOIVIN.

[c] εὕρημα] Sic MS. Vat. εὕρεμα vulg.

1. ῾Ιστέον, ὅτι σκόπον ἔχει ὁ μετρικὸς περὶ μέτρων διαλαβεῖν. τοῦ δὲ μέτρου εὑρετὴς μὲν ὁ ᾿Απόλλων, ἤγουν ἡ Πυθία, ἢ ὥς τινες φασὶ, Φημονόη ἱέρεια τῆς Πυθίας. εὑρέθησαν οὖν πρῶτον τὰ μέτρα ἐν τῇ Πυθίᾳ, ὅτι αἱ μαντίαι καὶ οἱ χρησμοὶ ἐμμέτρως ἐδίδοντο, εἶτα λοιπὸν ἐκ τῆς Πυθίας ἔγνωσαν οἱ ποιηταί. πατὴρ δὲ καὶ γένεσις τῶν μέτρων ἐστὶν ὁ ῥυθμός· διήκει γὰρ καθολικώτερος ὢν οὐ μόνον ἐν τοῖς μέτροις, ἀλλὰ καὶ ἐν ἄλλοις τισίν· ἔστι γὰρ ὁ ῥυθμὸς ἐκτελούμενος καὶ ἀπὸ τῶν ἐν χαλκείοις σφυρῶν, καὶ ἀπὸ ἵππου ποδῶν καὶ κρότου χειρῶν καὶ λύρας καὶ ἑτέρων τινῶν· καὶ κριτικὴ (κρητικὴ MS.) μέτρων ἐστὶν ἡ ἀκοή· ὅθεν καί τινες ὁριζόμενοι τί ἐστι μέτρον, φασὶ τὸ ἐκ ποδῶν ἢ βάσεων συγκείμενον, αἰσθήσει τῇ δι' ἀκοῆς κρινόμενον. ποδῶν δὲ καὶ βάσεων ἐκ παραλλήλου τὸ αὐτὸ νοητέον. εἰ οὖν ἡ ἀκοὴ διακριτική ἐστι μέτρων, ἴδιον δ' αἰσθητὸν τῆς ἀκοῆς ἐστιν ἡ φωνὴ, δηλονότι ἡ φωνὴ ἐπικοσμεῖ τὰ μέτρα. ὡς γὰρ τὸν ἦχον τῆς εὐρυθμίας ἐκτείνουσά τε καὶ συστέλλουσα ἡ φωνὴ τὰς συλλαβὰς χρωματίζει καὶ ἐπικοσμεῖ, οὕτως ἡ ἀκοὴ ἐπιδεξαμένη κρίνει αὐτὴν τὴν φωνὴν καὶ τὸν ῥυθμὸν τῶν μέτρων. ὅθεν πολλάκις ἐν πεζῇ φράσει εὑρίσκονται μέτρα· καὶ διὰ τὸν ῥυθμὸν τῆς πεζῆς φράσεως λανθάνουσι· καὶ ἔμπαλιν ἐν μέτροις εὑρίσκεται πεζὴ φράσις, καὶ οὐ νοεῖται εὐχερῶς, εἰ μὴ ἄρα

παλαιότητος ἕξει τὴν σεμνότητα· νέα δὲ οὖσα, ποθεινοτέρα καθ' [d]Ὅμηρον,

Τὴν γὰρ ἀοιδὴν [e]πάντες ἐπικλείουσ' ἄνθρωποι,
Ἥ τις [f]ἀκουόντεσσι νεωτάτη ἀμφιπέληται.

Μέτρου δὲ πατὴρ ῥυθμὸς καὶ [g]θεός· ἀπὸ ῥυθμοῦ γὰρ [h]ἔσχον τὴν ἀρχὴν, θεὸς δὲ τὸ μέτρον ἀπεφθέγξατο.

2 Τοῦ δὲ περὶ μέτρων λόγου πολλοὶ πολλαχῶς ἤρξαντο· οἱ μὲν ἀπὸ στοιχείων, ὡς Φιλόξενος· οἱ δὲ ἀπὸ τοῦ μέτρων ὅρου, ὡς Ἡλιόδωρος· ἡμεῖς δὲ Ἡφαιστίωνι κατακολουθήσομεν, ἀπὸ συλλαβῆς ἀρξάμενοι. Πρῶτον δὲ ὀλίγα προειπεῖν δίκαιον.

3 Τεκμήριον μέτρου ἀκοή. Ἔνιοι γοῦν οὕτως ὡρίσαντο· ΜΕΤΡΟΝ

[d] Ὅμηρον] Odyss. α'. 351. BOIVIN.

[e] πάντες] In vulgatis, non πάντες, sed μᾶλλον. BOIVIN.

[f] ἀκουόντεσσι] αἰόντεσσι Codex Vaticanus: item Codex Ambrosianus. BOIVIN.

[g] Θεός] Videntur hæc pertinuisse ad fragmentum *de Metri origine divina*, quod infra exhibebimus. BOIVIN. Hæc corrupta sunt, atque ita emendanda: Μέτρου δὲ πατὴρ ῥυθμὸς καὶ θεός· ἀπὸ ῥυθμοῦ γὰρ ΕΣΧΕ τὴν ἀρχὴν, θεὸς δὲ τὸ μέτρον ΑΝΕΦΘΕΓΞΑΤΟ. Suidas Ἐλεγείνειν· τὸ παραφρονεῖν τινὲς τῶν παλαιῶν. Καὶ τὸ ἐλεγεῖον μέτρον ἀπὸ τούτου τινὲς κληθῆναι νομίζουσι, ὅτι Θεοκλῆς Νάξιος ἢ Ἐρετριεὺς πρῶτος αὐτὸ ΑΝΕΦΘΕΓΞΑΤΟ μανείς. Ita scribendus iste locus. Confer Etymol. v. Ἐλεγαίνειν. Atque hinc facile emendandus Scholiast. Hermogen. p. 387. Διὸ καὶ μέτρου πνεῦμα τὸν ῥυθμόν φησιν ὁ Λογγῖνος. Immo, μέτρου πατέρα. Eodem respicit Schol. Aristoph. Nub. 638. Διαφέρει δὲ μέτρον καὶ ῥυθμός. καὶ ὅτι ΠΑΤΗΡ ΜΕΤΡΟΥ ῬΥΘΜΟΣ. Quem locum mihi subindicavit amicissimus Ruhnkenius. TOUPIUS. Hesychius, ab eruditissimo Præsule Asaphensi refictus, Ῥυθμὸς, μέτρου κανών. Vide quæ congessit Santenius ad Terent. Maurum p. 51. 162. seqq.

[h] ἔσχον] Supple τὰ μέτρα: vel legendum ἔσχε. Mox in Codice Vaticano legitur ἴσχον. BOIVIN.

ἡ ἀκοὴ καλῶς ἐπικρίνουσα εὔδηλον καὶ φανερὸν ποιήσει. ὅθεν καὶ παρὰ Δημοσθένει ἐστὶν εὑρεῖν μέτρα, ἰάμβους μὲν συνεχῶς, οἷον δῆλον γάρ ἐστι τοῖς Ὀλυνθίοις ὅτι ἀλλὰ καὶ ἡρωϊκὸν στίχον, οἷον, τὸν γὰρ ἐν Ἀμφίσσῃ πόλεμον δι' ὃν εἰς Ἐλάτειαν, ἀλλὰ καὶ ἰωνικὸν ἀπὸ μείζονος παρὰ τῷ αὐτῷ, πολλῶν δὲ λόγων καὶ θορύβου γενομένου παρ' ἡμῶν, ὅμοιον δὲ τῷ ἀσσαρόμετρα (sic) μνασιδίκα τὰς ἀπαλὰς γυρίννω. Διαφέρει οὖν ὁ ῥυθμὸς τοῦ μέτρου, ὅτι μὲν ῥυθμὸς ἐν πολλοῖς ἐστὶν καὶ ἐν λέξεσι, τὸ δὲ μέτρον ἐν μόνοις τοῖς χρόνοις. τοῦτο δὲ δηλοῖ καὶ Ἀριστοφάνης, εἰ καὶ δοκεῖ παίζειν εἰσάγων τὸν Σωκράτην, ὅτι διαφέρει· λέγει γὰρ οὕτως· πότερον περὶ μέτρων ἢ περὶ ἐπῶν ἢ περὶ ῥυθμῶν· ὥστε δῆλον ὅτι ἄλλο μέτρον καὶ ἄλλο ῥυθμός :— S.

ἘΣΤῚ ΠΟΔΩ͂Ν Ἢ ΒΆΣΕΩΝ ΣΎΝΤΑΞΙΣ, ΑἸΣΘΉΣΕΙ ΤΗ͂Ι ΔΙ' ἈΚΟΗ͂Σ ΠΑΡΑΛΑΜΒΑΝΟΜΈΝΗ. Εἰ δὲ τὸ κρίνον ἐστὶν ἀκοὴ, τὸ κοσμοῦν ἐστὶ φωνή. Ὡς γὰρ τὸν ἦχον τῆς εὐρυθμίας ἐκτείνουσά τε καὶ συστέλλουσα φωνὴ σχηματίζει τὰς συλλαβὰς, οὕτως εἰσδεξαμένη κρίνει ἡ ἀκοή.

4 Διὰ τοῦτο πολλὰ τῶν μέτρων συμβέβηκεν ἀποκρύπτεσθαι σιωπώμενα ἐν τῇ κατὰ πεζὸν ῥήσει· καὶ αὖ πάλιν πολλὰς πτώσεις ἔχει πρὸς ἄλλα μέτρα. Εὕροι γοῦν ἄν τις παρὰ Δημοσθένει τῷ ῥήτορι στίχον ἡρωϊκὸν κεκρυμμένον, ὃς ἠδυνήθη λαθεῖν διὰ τὸ πεζὴν οὖσαν τὴν προφορὰν συναρπάσαι τῷ λόγῳ τὴν ἀκοήν. φησὶ γοῦν·

> [i]Τὸν γὰρ ἐν Ἀμφίσσῃ πόλεμον, δι' ὃν εἰς Ἐλάτειαν
> ἦλθε Φίλιππος.

στίχος ἐστὶν ἡρῷος· ἀλλὰ μὴν καὶ Ἰωνικὸν, ὅταν λέγῃ,

> Πολλῶν δὲ λόγων [j]καὶ θορύβου γιγνομένου παρ' ὑμῖν.

τοῦτο γὰρ ἄντικρυς [k]Ἰωνικόν ἐστιν ἀπὸ μείζονος, ὅμοιον τῷ,

> Εὐμορφοτέρα Μνασιδίκα τᾶς ἀπαλᾶς Γυρίννω.

τὰς δὲ τῶν μέτρων συνεμπτώσεις ἐν τοῖς ἑξῆς ἐπιδείξομεν.

[i] Demosthenes in Orat. de Corona, p. 333. edit. Basil. BOIVIN. p. 275, Reisk. Vid. Santen. ad Terent. Maurum p. 277.

[j] Γρ. καὶ θορύβων γιγνομένων. BOIVIN.

[k] Id est, a *spondeo* incipiens. *Ionicum* autem *a minori* illud est quod a *pyrrhichio* incipit; ut, *Miserarum est neque amori dare laudum &c.* BOIVIN. Sapphonis locus auctior legitur apud Hephæst. p. 69. Scribendum autem auctoritate Etymologi Magni et Chœrobosci Grammatici Γυριννῶς sive Γυριννῶς. Etymol. Γυριννὼ, ὄνομα κύριον Λεσβίας κόρης. Εἴρηται παρωνύμως παρὰ τὸ γυρῖνος ὃ δηλοῖ τὸν βάτραχον. Γυρῖνος γυριννὼ, ὡς ἔρατος Ἐρατώ· καὶ κλέος, Κλεὼ καὶ Κλειώ. Chœroboscus περὶ τῶν εἰς ω. p. 268. apud Ald. Οἱ δὲ Αἰολεῖς καὶ Λάκωνες, οἵτινές εἰσι μέρος Δωριέων, προσθέσει τοῦ ς ποιοῦσι τὴν γενικήν· οἷον, ἡ Σαπφὼ, τῆς Σαπφῶς, καὶ ἡ Λητὼ, τῆς Λητῶς· καὶ δηλοῦσιν αἱ χρήσεις οὕτως ἔχουσαι· Τὸ δὲ ἐκ Σαπφῶς ἀμελγόμενος μέν τοι φέρω· καὶ παρ' αὐτῇ τῇ Σαπφοῖ· Μάλα δὴ κεκορημένη στοργᾶς· (lege Στοργῶς·) καὶ πάλιν· Εὐμορφοτέρα Μναΐδος καὶ τᾶς ἀπαλᾶς Πυριννῶς. Lege Γυριννῶς ex Etymologo. Vides Γυριννὼ facere Γυριννῶς, ut Σαπφὼ Σαπφῶς. et notanda varia lectio apud Chœroboscum Εὐμορφοτέρα Μναΐδος. [Sic Fulvius Ursinus.] Sed vulgatam, ut metrum taceam, satis firmat Longinus. Recte autem emendavimus Στοργῶς. *Storgo* est nomen mulieris, ut Sappho, et Gyrino, nisi præstat Γοργῶς. Gorgo enim ex Sapphus amasiis. Max. Tyr. Dissert. XXIV. 9. Καὶ ὅ τι περ Σωκράτει οἱ ἀντίτεχνοι, Πρόδικος, καὶ Γοργίας, τοῦτο τῇ Σαπφοῖ ΓΟΡΓΩ καὶ Ἀνδρομέδα. Ceterum quæ hic

5 Διαφέρει δὲ μέτρον [l]ῥυθμοῦ. Ὕλη [m]μὲν γὰρ τοῖς μέτροις ἡ συλλαβὴ, καὶ χωρὶς συλλαβῆς οὐκ ἂν γένοιτο μέτρον. Ὁ [n]δὲ ῥυθμὸς γίνεται μὲν καὶ ἐν συλλαβαῖς, γίνεται δὲ καὶ χωρὶς συλλαβῆς· καὶ γὰρ ἐν κρότῳ. Ὅταν μὲν γὰρ τοὺς χαλκέας ἴδωμεν τὰς σφύρας καταφέροντας, ἅμα τινὰ καὶ ῥυθμὸν [o]ἀκούομεν· καὶ ἵππων δὲ πορεία ῥυθμὸς ἐνομίσθη, καὶ κίνησις δακτύλων, καὶ [p]μελῶν σχήματα, καὶ χορδῶν κινήματα, καὶ τῶν ὀρνίθων τὰ [q]πτερίσματα. Μέτρον δὲ οὐκ ἂν γένοιτο χωρὶς λέξεως ποιᾶς καὶ ποσῆς. Ἔτι τοίνυν διαφέρει ῥυθμοῦ τὸ μέτρον, ᾗ τὸ μὲν μέτρον πεπηγότας ἔχει τοὺς χρόνους, μακρόν τε καὶ βραχὺν, καὶ τὸν μετὰ [r]τοῦτον τὸν κοινὸν καλούμενον, ὃς καὶ αὐτὸς πάντως μακρός ἐστι καὶ βραχύς· ὁ δὲ ῥυθμὸς ὡς βούλεται ἕλκει τοὺς χρόνους·

Γυριννὼ sive Γυριννὼ dicitur, Γυρίνναν vocat Maximus. Ὅ τι γὰρ Σωκράτει Ἀλκιβιάδης καὶ Χαρμίδης καὶ Φαῖδρος, τοῦτο τῇ Λεσβίᾳ ΓΥΡΙΝΝΑ καὶ Ἀτθὶς καὶ Ἀνακτορία. TOUP.

[l] Vide Quinctilianum in Instit. Orat. lib. IX. c. 4. et huc refer ea quæ ab illo de *Rhythmi* et *Metri* differentia dicuntur. BOIVIN. Syrianus Comment. MS. ad Hermogenem Morellio citatus in Bibl. Manuscript. p. 303. Ῥυθμὸς δέ ἐστι χρόνος διῃρημένος ὑπὸ λέξεως, ἢ μέλους, ἢ κινήσεως, κατὰ τινὰ τάξιν ὡρισμένην λόγῳ· ὡς δὲ Ἀριστόξενος καὶ Ἡφαιστίων φασὶ, χρόνων τάξις. Aristides Quintil. p. 31. Ῥυθμὸς τοίνυν καλεῖται τριχῶς. λέγεται γὰρ ἐπὶ τῶν ἀκινήτων σωμάτων, ὡς φαμὲν εὔρυθμον ἀνδρίαντα· κἀπὶ πάντων τῶν κινουμένων, οὕτω γὰρ φαμὲν εὐρύθμως τινὰ βαδίζειν· καὶ ἰδίως ἐπὶ φωνῆς, περὶ οὗ νῦν πρόκειται λέγειν. Ῥυθμὸς τοίνυν ἐστὶ σύστημα ἐκ χρόνων κατά τινα τάξιν συγκειμένων· καὶ τὰ τούτων πάθη καλοῦμεν ἄρσιν καὶ θέσιν· ψόφον καὶ ἠρεμίαν. Καθόλου γὰρ τῶν φθόγγων διὰ τὴν ὁμοιότητα τῆς κινήσεως ἀνέμφατον τὴν τοῦ μέλους ποιουμένων πλοκὴν καὶ εἰς πλάνην ἀγόντων τὴν διάνοιαν, τὰ τοῦ ῥυθμοῦ μέρη τὴν δύναμιν τῆς μελῳδίας ἐναργῆ καθίστησι, παρὰ μέρος μὲν, τεταγμένως δὲ κινοῦντα τὴν διάνοιαν. Ἄρσις μὲν οὖν ἐστὶ φορὰ σώματος ἐπὶ τὸ ἄνω, θέσις δὲ ἐπὶ τὸ κάτω ταυτοῦ μέρους.

[m] μὲν abundat, et abest a Codice Vaticano. BOIVIN.

[n] Pro γὰρ legendum δέ. BOIVIN. Sic Fl.

[o] Ita in Cod. Vat. ἀκούσομεν in aliis Codd. BOIVIN.

[p] καὶ μ. καὶ] Legendum καὶ μελῶν ut in edit. Oxon. BOIVIN.

[q] D'Orvillius Vann. Crit. p. 540. legit πτερύσματα. Sed neutra vox Græca est. Ut a πτύσσω πτύγμα, sic a πτερύσσω πτέρυγμα, non πτέρυσμα. Quare scribendum sine dubio, πτερυγίσματα. Quod et Ruhnkenio placebat. TOUP. Item Dindorfio in Thesauro L. G. T. VI. p. 2173 D.

[r] τοῦτον] An τούτοιν? Santenius ad Terent. Maur. p. 157. μετὰ τούτους vel μετὰ τούτων vel μεταξὺ τούτων Morus. μέσον τούτων Weiskius.

πολλάκις γοῦν καὶ τὸν βραχὺν χρόνον ποιεῖ μακρόν. Οτι δὲ τοῦτο οὕτως ἔχει, καὶ τὴν διαφορὰν ἴσασιν οἱ ποιηταὶ, λάβωμεν παραδείγματα παιζούσης κωμῳδίας ἐν σπουδαζούσῃ φιλοσοφίᾳ. [s]Ὁ γοῦν Ἀριστοφάνης ἐν ταῖς Νεφέλαις· φησὶ Σωκράτης, εἰ καὶ τωθάζει Ἀριστοφάνης·

πότερον περὶ μέτρων, ἢ περὶ ἐπῶν, ἢ περὶ ῥυθμῶν;

ἀντιδιέστειλε γὰρ ἐκεῖνος ἀπὸ ῥυθμῶν τὰ μέτρα. Εἰς ἑκάτερον γοῦν τὸ παράδειγμα σημειωτέον, ὅτι τε ῥυθμὸς μέτρου διαφέρει, καὶ ὅτι ἴσασιν ἐν διδασκαλίᾳ [t]οἱ παλαιοὶ τὴν τῶν μέτρων θεωρίαν.

6 [u]Τὸ δὲ μέτρον λέγεται πολλαχῶς. Καὶ γὰρ τὴν [x]εὐμετρίαν μέτρον προσαγορεύομεν, ὡς ὁ εἰπὼν, ΜΕΤΡΟΝ ἌΡΙΣΤΟΝ· εἴτε σοφὸν [y]ἀπόφθεγμα, εἴτε θεῖον ἀνάθημα, Ἀπόλλωνι μὲν γὰρ ἁρμοδιώτατον,

[s] Legendum videtur, ὁ γοῦν ἐν ταῖς νεφέλαις φησὶ Σωκράτης, &c. vel sic interpungendum, ὁ γοῦν Ἀριστοφάνης ἐν ταῖς νεφέλαις· φησὶ Σωκράτης, εἰ καὶ τωθάζει Ἀριστοφάνης· πότερον, &c. BOIVIN. Posteriora hæc glossema sapiunt. Quare lego, ὁ γοῦν Ἀριστοφάνης ἐν ταῖς Νεφέλαις· Πότερον περὶ μέτρων, ἢ περὶ ἐπῶν, ἢ περὶ ῥυθμῶν; Occurrit autem iste versiculus apud Aristoph. Nub. 638. ubi recte legitur. Πότερα περὶ μέτρων, ἢ περὶ ἐπῶν, ἢ ῥυθμῶν; TOUP.

[t] Voces οἱ παλαιοὶ absunt a Codice Vaticano. BOIVIN.

[u] Τὸ δὲ μέτρον] Hæc ita leguntur in S. Λέγεται δὲ τὸ μέτρον πολλαχῶς. Ἔστι γὰρ μέτρον τὸ μετροῦν καὶ μετρούμενον, καθάπερ καὶ μέδιμνον καὶ λέξις καὶ πῆχυς. λέγεται μέτρον καὶ ἡ συμμετρία, ὡς δηλοῖ τὸ λεγόμενον πᾶν μέτρον ἄριστον. λέγεται δὲ μέτρον καὶ ὁ ποῦς ὁ ἁπλοῦς· ὅθεν καὶ τὸν στίχον ἑξάμετρον οἱονεὶ ἓξ πόδας ἔχοντα. λέγεται μέτρον καὶ ἡ διποδία, ὅθεν καὶ τοὺς ἰάμβους τριμέτρους εἰώθαμεν καλεῖν κατὰ διποδίαν αὐτοὺς ἀριθμοῦντες. λέγεται μέτρον καὶ τὸ σύστημα τῶν ποδῶν, οἷον, στίχος ἴαμβος, ὅθεν λέγομεν τήνδε τὴν ῥαψῳδίαν πεντακόσια τυχὸν ἔχειν μέτρα, οἱονεὶ στίχους πεντακοσίους. λέγεται πάλιν μέτρον καθολικῶς πᾶσα ἔμμετρος φράσις πρὸς ἀντιδιαστολὴν τῆς πεζῆς λέξεως, οἱονεὶ τὸ ποίημα. λέγεται καὶ ἰδικῶς ἕκαστον μέτρον, τὸ δακτυλικὸν, ἢ ἰωνικὸν, ἤ τι τῶν τοιούτων. λέγεται μέτρον καὶ ὁ χρόνος· ὅθεν δάκτυλος τετράμετρός ἐστιν, οἱονεὶ τετράχρονος, καὶ ὁ ἡρωϊκὸς στίχος λέγεται κδʹ ἔχειν μέτρα, οἱονεὶ χρόνους, ὡς δηλοῖ ὁ Ὀρφεὺς ἢ ἡ Πυθία λέγουσα περὶ τοῦ ἔπους οὕτως, Ὄρθιον ἑξαμετρὲς (sic) τεττάρων καὶ εἴκοσι μέτρων.

[x] συμμετρίαν Sch. Hephæst. et Draco p. 124, 10.

[y] Ita locutus est Julian. Or. 2. Ἔστι γὰρ ὁ νόμος ἔκγονος τῆς δίκης, ἹΕΡΟΝ ΑΝΑΘΗΜΑ ΚΑΙ ΘΕΙΟΝ ἀληθῶς τοῦ μεγίστου θεοῦ. Idem apud Suid. v. Ἀμφίων. Ἡ γὰρ οὐχὶ τοῦτον αὐτὸν (Ἀμφίονα) ἀκοῇ παραδεδέγμεθα, οὐ τὰς ἁρμονίας μόνον, αὐτὴν δὲ ἐπ' αὐταῖς ἐξευρεῖν τὴν λύραν, ΕΙΤΕ δαιμονιωτέρᾳ χρησάμενον ἐπινοίᾳ, ΕΙΤΕ ΤΙΝΙ ΘΕΙΑι ΔΟΣΕΙ, διά τινα συμμαχίαν ἀμήχανον. Quæ plane gemella sunt. Confer

ἐπεὶ καὶ μέτρων εὑρετής. Λέγεται δὲ μέτρον καὶ αὐτὸ τὸ μετροῦν, καὶ τὸ μετρούμενον· ὡς ὅταν εἴπωμεν τὸν μέδιμνον μέτρον, καὶ τὸ ἐν αὐτῷ μετρηθὲν μέτρον, ἀμφότερα δὲ καλεῖται μέδιμνος· καὶ αὖ πάλιν εἰ [z]εἴποιμεν χόα τὸ σκεῦος ἐν ᾧ μετρῶ ποσότητά τινα, καὶ αὖ πάλιν αὐτὴν τὴν ποσότητα χόα προσαγορεύομεν. [[a]καὶ αὖ πάλιν αὐτὸ τὸ ξύλον, ὃ μόνον ἔχει πῆχυν, πῆχυν προσαγορεύομεν.]

7 Οὕτω μὲν οὖν καὶ ἐπὶ ταύτης τῆς θεωρίας πολλαχόθεν λέγεται μέτρον. Μέτρον τε γὰρ καλοῦμεν πᾶν τὸ μὴ πεζόν· ὅταν εἴπω, τὰ μὲν Πλάτωνος, πεζὰ, τὰ δὲ Ὁμήρου, μέτρα. Μέτρον καλεῖται καὶ εἶδος ἑκάστου· ὡς ὅταν εἴπω, μέτρον Ἰωνικὸν, καὶ μέτρον ἰαμβικὸν, [b]καὶ μέτρον τροχαϊκόν. Μέτρον καλεῖται καὶ στίχος ἕκαστος· ὡς ὅταν εἴπω ἡ πρώτη Ὁμήρου ῥαψῳδία μέτρα ἔχει χ· τοῦτο δὲ [c]Ὀδυσσεὺς ὁ μετρικὸς ἐσημειώσατο. [d]Εἰ τοίνυν μέτρον

Porphyr. apud Joannem Stobæum Serm. XXI. p. 185. Quod sequitur, Λέγεται—μέδιμνος, deprompptum videtur ex Plutarcho de Oracul. Defect. p. 416. Ἀλλὰ μὴν κἀκεῖνο δῆλον, τὸ πολλάκις ΤΟ ΜΕΤΡΟΥΝ ΚΑΙ ΤΑ ΜΕΤΡΟΥΜΕΝΑ τοῖς αὐτοῖς ὀνόμασι προσαγορεύεσθαι, κοτύλην, καὶ χοίνικα, καὶ ἀμφορέα, καὶ ΜΕΔΙΜΝΟΝ. TOUP. Plutarch. T. I. p. 444 C. καλεῖται δὲ ὁμωνύμως τῷ ξύλῳ σκυτάλη τὸ βιβλίον, ὡς τῷ μετροῦντι τὸ μετρούμενον. Similiter Eustathius ad Il. β'. p. 196, 29, = 149, 1. Ἰστέον γὰρ ὅτι ὥσπερ μέδιμνος τό τε σκεῦος τὸ μετροῦν, καὶ τὸ ὑπ' αὐτοῦ μετρούμενον, ἔτι δὲ καὶ χοῖνιξ ὁμοίως, λέγομεν γὰρ μέτρον τι χοίνικα, καὶ πῆχυς δὲ αὐτός τε ὁ μετρῶν, καὶ τὸ ὑπ' αὐτοῦ μετρούμενον, οὕτω καὶ τάλαντον, οὐ μόνον ὁ σταθμὸς δι' οὗ τὰ βάρη διακρίνεται τῶν σωμάτων ἐντιθεμένων ταῖς πλάστιγξιν, ἀλλὰ καὶ αὐτὸ τὸ βάρος τὸ σταθμώμενον. Quæ partim repetit ad Od. ο'. 1782, 57. = 577, 4.

[z] εἴποι] Εἴποιμι uterque Cod. Vat. et Ambros. BOIVIN.

[a] Uncis inclusa aberant a Codice Regio: exstant autem in Vaticano. Vide Hephæstionis Enchiridion, p. 76. edit. Turnebi, ubi hæc eadem rectius. BOIVIN. Sic ibi leguntur: λέγεται μέτρον καὶ αὐτὸ τὸ μετροῦν καὶ τὸ μετρούμενον, ὡς ὅταν λέγωμεν πῆχυν· καὶ αὐτὸ τὸ μέτρον, ἐν ᾧ μετροῦμεν ποσότητά τινα· καὶ αὖ πάλιν αὐτὸ τὸ μετρούμενον ξύλον, ὃ μόνον ἔχει πῆχυν, πῆχυν λέγομεν.

[b] καὶ abest a Codice Vaticano. BOIVIN.

[c] De *Ulysse metrico* equidem nihil quidquam habeo compertum. Joannes Fabricius, vir doctissimus, legebat, Ὀδυσσεὺς Ὁμηρικός. Quod miror. Ceterum hæc verba non leguntur in scholiis ad Hephæstionem. Quare ex margine huc invecta videntur. Quod et cl. Moro visum. TOUP. Habent h. l. Longini MSS. τοῦτο δὲ Ὀδυσσεὺς ὁ μετρικὸς &c. Legendum puto, ἡ πρωτὴ Ὁμήρου ῥαψῳδία μέτρα ἔχει ΥΜΔ, τοῦτο δὲ Ὀδυσσείας ἐσημειώσατο. Scilicet in libro primo Odysseas esse me-

καλοῦμεν τὴν συζυγίαν, τουτέστι τὴν διποδίαν, [e] ὅταν τὸ ἰαμβικὸν, τὸ ἀπὸ ἓξ ποδῶν συγκείμενον, τρίμετρον καλῶμεν. Μέτρον καλοῦμεν καὶ τὸν χρόνον· ὃν τινες τῶν [f] ῥυθμικῶν σημεῖον προσαγορεύουσιν. Ὅτι δὲ τοῦτο οὕτως ἔχει, παράδειγμα τεθήσεται, ὅ τινες μὲν Ὀρφέως, τινὲς δὲ τῆς Πυθίας παραλαμβάνουσι· περὶ γὰρ τῶν ἐπῶν λέγων, ἡ λέγουσα,

Ὄρθιον, ἑξαμερὲς, τετόρων καὶ εἴκοσι μέτρων·

tra, i. e. versus, 444. Ex his scriba minime peritus facile mutavit Υ in X, atque ex ΜΔ ὁ μετρικὸς abbreviari somniavit, tum ab Ὀδυσσείας quam Cod. servavit, Ὀδυσσεὺς ille novus metricus formatur. HOTCHKIS.

[d] Pro εἰ τοίνυν, legendum videtur, ἔτι νῦν. BOIVIN.

[e] ὡς ὅταν in edit. Oxon. BOIVIN.

[f] μετρικῶν Cod. Vat. BOIVIN.

7. Hic addit S. Ἰστέον δὲ ὅτι ἄλλως λαμβάνουσι τοὺς χρόνους οἱ μετρικοὶ, ἤγουν οἱ γραμματικοὶ, καὶ ἄλλως οἱ ῥυθμικοί. Οἱ γραμματικοὶ ἐκεῖνον μακρὸν χρόνον ἐπίστανται τὸν ἔχοντα δύο χρόνους, καὶ οὐ καταγίνονται εἰς μεῖζόν τι· οἱ δὲ ῥυθμικοὶ λέγουσι τόδε εἶναι μακρότερον τοῦδε, φάσκοντες τὴν μὲν τῶν συλλαβῶν εἶναι δύο ἡμίσεος χρόνων, τὴν δὲ τριῶν, τὴν δὲ πλειόνων· οἷον τὴν ως οἱ γραμματικοὶ λέγουσι δύο χρόνων εἶναι, οἱ δὲ ῥυθμικοὶ δύο ἡμίσεος· δύο μὲν τοῦ ω μακροῦ, ἡμίχρονον δὲ, τὸ σ· πᾶν γὰρ σύμφωνον λέγεται ἔχειν ἡμιχρόνιον. σκοπὸν οὖν ἔχων ἐστὶν, ὡς προείπομεν, ὁ τεχνικὸς περὶ μέτρων διαλαβεῖν· χρήσιμον δέ ἐστι τὸ παρὸν σύγγραμμα οὐ πᾶσιν, ἀλλὰ τοῖς ἔμμετρα ποιήσασι βιβλία, οὐ γὰρ ῥήτορσιν, ἢ ἁπλῶς πεζῇ φράσει κεχρημένοις.

Γνήσιον δέ ἐστι τὸ παρὸν σύγγραμμα Ἡφαιστίωνος, πρῶτον μὲν ἐκ τῆς κοινῆς μαρτυρίας τῶν ὑπομνήματα ποιησάντων εἰς αὐτὸν, εἶτα δὲ καὶ ἐκ τοῦ μεμνῆσθαι αὐτὸν τούτου καὶ ἐν τοῖς ἑτέροις αὐτοῦ ποιήμασι· ποιεῖ γὰρ βιβλίον περὶ ποιήματος, ὅπερ καὶ ἀεὶ συνευρίσκεται τούτῳ τῷ περὶ μέτρων βιβλίῳ. Ἐπιγέγραπται δὲ τὸ παρὸν σύγγραμμα ἐγχειρίδιον, ἢ ὅτι ὥσπερ τὸ ἐγχειρίδιον ξίφος ὀξὺ καὶ τμητικόν ἐστιν, οὕτως καὶ τοῦτο ἐστιν ὀξύνον καὶ τέμνον τὴν διδασκαλίαν· ἢ, ὅπερ ἄμεινον, παρὰ τὸ μικρὸν εἶναι πάνυ, ἐπιτομὴν γὰρ ποιεῖται τῶν ἐν πλάτει αὐτῷ εἰρημένων· καὶ ὡς φησὶν ἡ συνήθεια, παρὰ τὸ ἐν χερσὶν ἔχειν. οὕτω γὰρ καὶ ὁ Ἡλιόδωρος, ποιήσας καὶ αὐτὸς ἐγχειρίδιον περὶ μέτρων, φησὶν ἀρχόμενος "τοῖς βουλομένοις ἐν χερσὶν ἔχειν τὰ κεφαλαιωδέστατα τῆς μετρίκης θεωρίας" καὶ τὰ ἑξῆς.

Ἰστέον δὲ ὅτι οὗτος ὁ Ἡλιόδωρος πρῶτον ἐποίησε περὶ μέτρων μη βιβλία· εἶθ' ὕστερον ἐπέτεμεν αὐτὰ εἰς ἕνδεκα· εἶτα πάλιν εἰς τρία, εἶτα πλέον (sic) εἰς ἓν τοῦτο τὸ ἐγχειρίδιον. Παρὰ τὸ μικρὸν οὖν αὐτὸ εἶναι καὶ ἐν ταῖς χερσὶν εὐχερῶς φέρεσθαι ἐπιγέγραπται ἐγχειρίδιον.

Διαιρεῖται δὲ εἰς δύο· καὶ ἐν μὲν τῷ πρώτῳ διαλαμβάνει περὶ συλλαβῶν, ὅτι πᾶσα συλλαβὴ ἢ βραχεῖά ἐστιν, ἢ μακρὰ, ἢ κοινή· καὶ περὶ συνεκφωνήσεως, ἥτις λέγεται καὶ συνίζησις· εἶτα περὶ ποδῶν καὶ περὶ διαφόρων μέτρων, ὅ ἐστιν ἰαμβικὸν τροχαϊκὸν δακτυλικὸν ἰωνικὸν καί τινα τοιαῦτα. ἐν δὲ τῷ δευτέρῳ περὶ τῶν ἀντιπαθούντων, ὅτι οὗτος ὁ ποὺς τῷδε ἀντιπαθεῖ· οἷον ὁ τροχαῖος τῷ ἰάμβῳ ἀντίκειται καὶ ὁ σπονδεῖος τῷ πυρριχίῳ, ὁ δάκτυλος

καὶ ταῦτα οὕτως ἔχει, ὥσπερ εἴρηκα. Μέτρον δὲ καὶ τὸ μετροῦν καὶ τὸ μετρούμενον· οὕτω καὶ ἐπὶ τῶν [g]*προειρημένων αὐτὸ* [h]*τὸ μέτρον, τουτέστι τὸ ποίημα, μέτρον προσαγορεύεται,* [i][*καὶ ἕκαστον τῶν μετρούντων τῆς ὁμοίας τετύχηκεν ὀνομασίας. χρόνος γὰρ συλλαβὴν ποιεῖ, συλλαβὴ δὲ πόδα, ποὺς δὲ συζυγίαν, συζυγία δὲ στίχον, στίχος δὲ ποίημα. πάντα οὖν εἰκότως μέτρα προσαγορεύεται.*]

8 Γέγονε δὲ *ἀπὸ τοῦ μείρω ῥήματος, ὅ ἐστι μερίζω· ἀφ' οὗ παρὰ τῷ ποιητῇ,*

[k]*Ἶσον ἐμοὶ βασίλευε, καὶ ἥμισυ μείρεο τιμῆς.*

[g] Post *προειρημένων*, virgula, non punctum. BOIVIN.

[h] Recte cl. Pearcius, *αὐτὸ μετρούμενον*. Schol. ad Hephæst. p. 71. ed. Pauw. *τὸ δὲ μετρούμενόν ἐστι, ὡς τὰ ποιήματα.* TOUP.

[i] Uncis inclusa absunt a codice Vaticano. BOIVIN.

[k] Post *Ἶσον*, et post *ἥμισυ*, subauditur *μέτρον*. Itaque perinde est ac si Homerus dixisset, *Ἶσον ἐμοὶ μέτρον βασίλευε, καὶ ἥμισυ μέτρον μείρεο τιμῆς.* Iliad. ι΄. 612. BOIVIN.

τῷ ἀναπαίστῳ καί τινα τοιαῦτα. εἶτα καὶ περὶ ἀσυναρτήτων, ὅτι ἀσύστατον καὶ ἀσυνάρτητόν ἐστι τόδε παρὰ τὸ εἰρημένον, καὶ δῆλον ὅτι περιφέρει ἑκάστου τὰ παραδείγματα ἐξετάζων, εἶτα ζητεῖ καὶ περὶ πολυσχημάτων καὶ οὕτω πληροῖ.

Ὤφειλε δὲ προτάττεσθαι τὸ παρὸν σύγγραμμα, ὡς τινὲς φασὶ, πρὸ παντὸς ἐμμέτρου συγγράμματος καὶ πρὸς τῆς Ἰλιάδος. πρῶτον μὲν γὰρ δεῖ ἡμᾶς γνῶναι τί ἐστι μέτρον, καὶ ποῖον, καὶ πόθεν λαμβάνεται, καὶ οὕτως αὐτὰ τὰ μέτρα γνῶναι εἰ καλῶς ἢ κακῶς ἔχουσιν. ἀλλὰ λέγομεν ὅτι ὕλη τοῦ παρόντος συγγράμματος εἰσι τὰ τῶν ποιητῶν ἔμμετρα ποιήματα. αὐτὰ γὰρ κανονίζει ὁ Ἡφαιστίων, καὶ αὐτῶν τὰς χρήσεις περιφέρει λέγων ὅτι τοιῷδε μέτρῳ ἐχρήσατο ὅδε ὁ ποιητής. πῶς δὲ τὴν ὕλην αὐτὴν ἀγνοοῦντες εἴχομεν τὴν μέθοδον γνῶναι· οἷον, πῶς ξύλων μὴ ὄντων ἠδύνατο τις τέκτων μαθεῖν. εὐλόγως οὖν λέγομεν πρῶτον τὰς λέξεις, ἤγουν τὰ ποιήματα τὰ ἐπιδεχόμενα μέτρον, καὶ τὴν κίνησιν αὐτῶν τὴν διὰ τῶν ὀκτὼ μερῶν τοῦ λόγου, τὴν σύνταξιν αὐτῶν καὶ τὴν στιγμήν· καὶ ὕστερον τοῦτο τὸ παρὸν σύγγραμμα περὶ τοῦ μέτρου αὐτῶν διαλαμβάνον.

Ἀνάγεται δὲ πάλιν καὶ τοῦτο, ὡς καὶ πᾶσα τεχνικὴ ζήτησις, ὑπὸ τεχνικὸν ὄργανον τῆς γραμματικῆς· οὐ γὰρ ὥς τινες ἠθέλησαν λέγειν ὑπὸ τὸ μετρικὸν, ἐπεὶ περὶ μέτρων διαλαμβάνει. οὐ γάρ ἐστιν ἔμμετρον αὐτὸ τὸ ποίημα, ἵνα εἴπωμεν αὐτὸ ὑπὸ τὸ μετρικὸν, ὡς τὸ φερόμενον δι' ἰάμβων Φιλήμονος τοῖς Ἀττικισταῖς περὶ Ἀττικῆς ἀντιλογίας τῆς ἐν ταῖς λέξεσιν.

Ἰστέον ὅτι μέτρον εἴρηται παρὰ τὸ μείρω, τὸ μερίζω, ὡς παρὰ τὸ σείω σεῖστρον, καὶ δέρω δέρτρον τὸ δέρμα, ὡς καὶ ἡ χρῆσις, δέρτρον εἴσω δύνοντες. Ἰστέον δὲ ὅτι παρὰ τοῖς μετρικοῖς ἡ ὀξυτονουμένη συλλαβὴ μείζων ἐστι τῆς βαρυνομένης, οἷον ἡ λος συλλαβὴ ἡ ἐν τῷ καλὸς μείζων ἐστι τῆς ἐν τῷ φίλος· γίνεται γὰρ βραδύτης τις τοῦ χρόνου· ὡς καὶ ἐν τῇ δασείᾳ λέγεται διὰ τῆς ὀξείας. ἡ δὲ περισπωμένη μέση ἐστὶ τῶν δύο, τῆς μὲν μακρᾶς βρα-

ὡς δὲ παρὰ τὸ σείω σεῖστρον γίνεται, καὶ παρὰ τὸ δέρω δέρτρον, καὶ παρὰ τὸ φέρω φέρτρον, οὕτω καὶ παρὰ τὸ μείρω μέτρον. Ὄνομα γοῦν ἐστὶ, καὶ ἐκ τῆς ἐτυμολογίας, τοῦ μερισμοῦ.

9 Περὶ δὲ ὅρων μέτρου νῦν εἰπεῖν οὐκ ἀναγκαῖον. Αὐτὸς γὰρ ὁ [l]Ἡφαιστίων αἰτιᾶται τὸν Ἡλιόδωρον, ὅτι τοῖς [m]ἐπαρχομένοις γράφει· τοῖς γὰρ ἀπείροις, καὶ τοῖς μήπω τῆς μετροποιίας [n]γεγευμένοις, ἀδύνατον νοῆσαι τὸν ὅρον.

10 Ἐπιγέγραπται δὲ ἐγχειρίδιον, οὐχ ὥς τινες ᾠήθησαν διὰ τὸ ξίφος, [o]ἀλλὰ διὰ τὸ ὀξύνειν τῶν [p]μετιόντων τὰς ψυχὰς, καὶ τὸ ἐν χερσὶν ἔχειν τοὺς βουλομένους τὰ κεφάλαια τῶν μετρικῶν [q]παραγγελμάτων. Ὅτι δὲ ταῦτα [r]οὕτως ἔχει, Ἡλιόδωρος τοῦ Ἐγχειριδίου ἀρχόμενος οὕτω λέγει· "τοῖς βουλομένοις ἐν χερσὶν ἔχειν "τὰ [s]κεφαλαιωδέστερα τῆς μετρικῆς γέγραπται τὸ βιβλίον "τοῦτο."

11 Ἤρξατο δὲ αὐτοῦ ὁ Ἡφαιστίων, ὡς ἔφην, ἀπὸ συλλαβῆς, ὕλη γὰρ τοῖς μέτροις ἡ συλλαβή· καὶ ἄνευ ταύτης οὐκ ἂν συσταίη τὸ μέτρον. Τὸ ποιοῦν πρὸ τοῦ ποιηθέντος, ὅθεν ἄρξασθαι δίκαιον. Οὐκ ἀπὸ τοῦ γένους δὲ [t]ἤρξατο, ἀλλ' ἀπὸ τοῦ εἴδους. Διαφέρει δὲ εἶδος καὶ γένος, ᾗ γένος μέν ἐστι τὸ πρωτότυπον, εἰς εἴδη διαιρεθῆναι δυνάμενον· εἶδος δὲ, τὸ ἀπὸ τοῦ γένους διῃρημένον, οἷον εἴ τις λέγοι ζῷον γένος, εἴδη δὲ αὐτοῦ, ἄνθρωπον, ἵππον,

[l] Ἡφαιστίων αἰτιᾶται] Notandum est, nihil his simile in Hephæstionis Enchiridio reperiri: non tamen credo Longinum alium quem Hephæstionis librum respexisse, sed conjicio ipsum Hephæstionem in prooemio aliquo de proposito suo exposuisse, illud autem procemium intercidisse: in eo autem commode Heliodori institutum potuit reprehendere. BERGK. Mus. Rhen. Nov. T. I. p. 377.

[m] ὑπαρχομένοις Cod. Vat. BOIVIN.

[n] Γρ. γευσαμένοις. BOIVIN.

[o] Pro ἀλλὰ lego καὶ, et mox pro καὶ lego ἀλλά. Trajectio manifesta. BOIVIN.

[p] Forte μὴ εἰδότων. HOTCHKIS.

[q] παραγγελμάτων] παραδειγμάτων MS. Harl. inter lineas.

[r] οὕτως] Ita in cod. Vat. in aliis male οὐχ οὕτως. BOIVIN.

[s] κεφαλαιωδέστατα conj. Bergk. Sic S. supra p. 147.

[t] ἤρξαντο] ἤρξατο Cod. Vat. BOIVIN.

χυτέρα, τῆς δὲ βραχείας μακροτέρα. πάλιν ἡ ὀξυτονουμένη συλλαβὴ ἐπιφερομένου ἐγκλιτικοῦ καὶ προαναπέμποντος ἐν αὐτῇ τῇ συλλαβῇ τὸν τόνον, μείζων ἐστὶ τῆς ἁπλῶς ὀξυτονουμένης, μὴ ἐπιφερομένου ἐγκλιτικοῦ. οἷον Ζεῦς τε καί τε χαλιφρονέοντα.

καὶ τὰ λοιπά. Οὐκοῦν γένος μέν ἐστιν ἡ συλλαβή· εἴδη δὲ αὐτῆς, βραχεῖα, καὶ μακρὰ, καὶ κοινὴ καλουμένη. Οὐκ ἔδοξεν οὖν αὐτῷ ἀπὸ τοῦ γένους ποιήσασθαι τὴν ἀρχήν· (τεχνικὸς γὰρ οὗτος ὁ λόγος, καὶ οὐ πάνυ τοῖς μέτροις συμβάλλεται·) οὔτε ὅρῳ τὴν συλλαβὴν περιλαβεῖν, οὔτε τὸν περὶ αὐτῆς εἰπεῖν λόγον τῆς ἐτυμολογίας. Καίτοι ἐν τοῖς τεχνικοῖς [u]*ἔλεγχον ἔσχεν ὁ ὅρος.*

12 [x]*Ἔστιν ἡ συλλαβὴ . . . . . .*

13 [y]*Ἔτι ἡ συλλαβὴ παρὰ τοῦτο ὠνόμασται, παρὰ τὸ ποσότητα στοιχείων εἰς ταυτὸν συλλαμβάνειν, ὧν* [z]*ἔξεστιν ὑφ' ἕνα φθόγγον παραλαβεῖν,* [a]*ἂν μὴ εἴποι τις τὰς μονογραμμάτους. Ἀλλὰ ταῦτα μὲν ζητείτωσαν οἱ τεχνικοί.*

14 *Ἐν δὲ τοῖς μετρικοῖς εἰδέναι δεῖ, ὅτι πᾶσα βραχεῖα ἴση, καὶ πᾶσα μακρὰ ἴση. Καθόλου γὰρ αἱ μέν εἰσι δίχρονοι, αἱ δὲ μονόχρονοι· ἐντεῦθεν τὸν μὲν δάκτυλον καλοῦμεν τετράχρονον, τὸν δὲ πυρρίχιον δίχρονον, οὐ πολυπραγμονοῦντες τῆς ποιητικῆς λέξεως ἢ συλλαβῆς τὰ στοιχεῖα, οὐδὲ ἐν ποσότητι* [b]*καταμετροῦντες τοὺς χρόνους, ἀλλὰ ἐν δυνάμει τῆς ποσότητος.*

II.

[c]*Ἀρκτέον δὲ ἀπὸ βραχείας. οὕτω τοίνυν ὁ Ἡφαιστίων αὐτὴν ὁρίζεται·* ΒΡΑΧΕΙ͂Ά ἘΣΤΙ ΣΥΛΛΑΒῊ Ἡ ἜΧΟΥΣΑ [d]ΒΡΑΧῪ ΦΩΝΗ͂ΕΝ,

[u] *ἔλεγχον ἔσχεν. ὁ ὅρος.* Sic interpungo, ut post *ἔσχεν* subaudiatur *Ἡφαιστίων*, et ut *ὁ ὅρος* initium sit vel argumentum sectionis duodecimæ, quæ deficit. BOIVIN.

[x] Definitio syllabæ omissa a librario, quem duarum sectionum similia initia in errorem induxerunt. BOIVIN.

[y] Ita legitur in Cod. Vat. in aliis *ἔστι ἡ συλλαβή.* Hinc patet definitionem præcessisse. BOIVIN.

[z] *ἔξεστιν*] In MS. *οὐκ ἔξεστιν.* perperam. BOIVIN.

[a] Ita lego. In MS. *εἴποι τις,* sine *ἂν μή.* BOIVIN.

[b] *καταριθμοῦντες*] *καταμετροῦντες* in Cod. Vat. BOIVIN.

[c] In codice Regio, unde hoc fragmentum habuimus, proxime subsequuntur scholia in definitionem syllabæ brevis. Sunt autem ea quoque Longini; ut et caput *περὶ ἐπιπλοκῆς,* et *ἐπιτομὴ τῶν ἐννέα μέτρων,* quod utrumque in codice Regio exstat. Verum ultima hæc duo in lucem edidit Turnebus cum Enchiridio Hephæstionis. At illa de quibus loquimur scholia nondum, quod sciam, vulgata sunt. Addantur itaque supra allatis, tametsi sunt mendosa, et, ut puto, interpolata. BOIVIN.

[d] ΒΡΑΧῪ ΦΩΝΗ͂ΕΝ Ἢ ΒΡΑΧΥΝΌΜΕΝΟΝ] Id est, vel brevem, ut *ι* et *ο*; vel correptam, ut *α, ι, υ,* quæ modo breves, modo

Η ΒΡΑΧΥΝΟΜΕΝΟΝ, ΜΗ ΕΠΙ ΤΕΛΟΥΣ ΛΕΞΕΩΣ, ΟΥΤΩΣ ΩΣ ΜΕΤΑΞΥ ΑΥΤΗΣ ΚΑΙ ΤΟΥ ΕΝ ΤΗΙ ΕΞΗΣ ΣΥΛΛΑΒΗΙ ΦΩΝΗΕΝΤΟΣ ΜΗ ΥΠΑΡΧΕΙΝ ΣΥΜΦΩΝΑ ΠΛΕΙΟΝΑ ΕΝΟΣ ΑΠΛΟΥ, ΑΛΛ' ΗΤΟΙ ΕΝ, Η ΜΗΔΕ ΕΝ.

2 Πάνυ οὖν ἐπαίνου ἄξιος ὁ ὅρος, ὡς πάντα ἔχων ὅσα δεῖ ὑγιῆ ὅρον ἔχειν. Ὅρος [e] καὶ τοῖς φιλοσόφοις [f] εἶναι, ὁ μηδὲν ἔξωθεν τῶν ὁριζομένων συμπεριλαμβάνων, ἢ ὁ μηδὲν τῶν ὁριζομένων κατα-

longæ sunt. Quin et vocales longæ η et ω, et ipsæ etiam diphthongi, aliquando corripiuntur, ut in οὐρανῷ ἐστήριξε κάρη, et in δείσας δ' ἐκ θρόνου ἆλτο, &c. Sed hæ quidem in fine tantum dictionis, ubi dictio sequens a vocali incipit: nec tamen brevem per se syllabam faciunt. Unde opinor Hephæstion addit, *non in fine dictionis*. BOIVIN.

[e] καὶ] Legendum γάρ. BOIVIN.

[f] εἶναι] Εἶναι Græco-barbare, pro ἐστί. BOIVIN.

3. Ad hæc verba sic S. Ἰστέον ὅτι ὡς προείρηται ἐγχειρίδιον γράφων καὶ ὡς ἐν εἰσαγωγῆς τρόπῳ, οὐκ ἤρξατο πρῶτον ἀπὸ στίχου, ὥς τινες φασὶν, ἢ λέγειν τοῦ μέτρου ὅρον, ἢ ἀπὸ τοῦ γένους τῆς συλλαβῆς, τῆς καθόλου συλλαβῆς, καθόλου γὰρ συλλαβή ἐστιν, ὡς Διονύσιος φησὶν ἐν τῇ τέχνῃ, κυρίως, σύλληψις συμφώνων μετὰ φωνήεντος ἢ φωνηέντων, οἷον κὰρ, βοῦς· ἀλλ' ἀπὸ τῆς ἐν εἴδει συλλαβῆς οἱονεὶ μακρᾶς, καὶ βραχείας καὶ κοινῆς. ὕλη γὰρ τῶν μέτρων ἐστὶν ἡ συλλαβὴ, καὶ ἄνευ ταύτης οὐκ ἂν συσταίη μέτρον. καὶ αὐτὸς μὲν λέγει ὡς καὶ πάντες συμφωνοῦσι τῆς συλλαβῆς εἶναι τρία εἴδη τῆς καθόλου, λέγω δὴ μακρὰν καὶ βραχεῖαν καὶ τὴν λεγομένην κοινήν. ἀλλὰ ταύτης ἤγουν μιᾶς ἑκάστης λέγει τινὰς διαφορὰς, καὶ πῶς καὶ πότε καὶ κατὰ πόσους τρόπους γίνεται βραχεῖα συλλαβὴ, ἢ μακρὰ, ἢ κοινή. Ὁ δ' Ὦρος ἄμεινον εἰς ε πᾶσαν συλλαβὴν παραλαμβάνων, φησὶ πέντε εἴδη μόνα εἶναι συλλαβῶν· δύο μὲν τῆς βραχείας, δύο δὲ τῆς μακρᾶς, καὶ ἓν τῆς κοινῆς. Ἡ γὰρ βραχεῖα συλλαβὴ, φησὶν, ἢ φύσει ἐστὶ βραχεῖα, ἢ θέσει· φύσει μὲν, ὅταν ἔχῃ ἓν τῶν φύσει βραχέων, θέσει δὲ, ὅταν ἔχῃ ἓν τῶν διχρόνων· καὶ ἡ μακρὰ ὡσαύτως· φύσει μὲν, ὡς ὅταν ἔχῃ ἓν τῶν φύσει μακρῶν φωνηέντων φημὶ καὶ διφθόγγων, θέσει δὲ ὅταν ἔχῃ δίχρονον ἢ βραχὺ φωνῆεν διὰ συμφώνων ἢ ἑνὸς διπλοῦ ἐκτεινόμενον. ἕν τε εἶδος τῆς κοινῆς εἶναι τὸ ἔχειν καὶ δύνασθαι βραχεῖαν οὖσαν εἰς μακρὰν παραλαμβάνεσθαι, ἢ ἔμπαλιν τὸ δύνασθαι μακρὰν οὖσαν εἰς βραχεῖαν. διαλαμβάνει οὖν ὁ μὲν τεχνικὸς πρῶτον περὶ βραχείας συλλαβῆς, καὶ ὁρισμὸν αὐτῆς ἀποδίδωσιν εὖ ἔχοντα καὶ ἀντιστρέφοντα πρὸς τὸ ὁριστὸν, ὅπερ ὑγεία ἐστὶν ὅρου, ὅς τις σχεδὸν σαφής ἐστιν, καὶ ἐξηγήσεως οὐ δεῖται. καλῶς δ' εἶπε βραχεῖά ἐστι, καὶ οὐ γίνεται, ὡς ἐν τῇ κοινῇ συλλαβῇ εἴπωμεν ἐντελέστερον. καλῶς δὲ προσέθηκε τὸ μὴ ἐπὶ τέλους λέξεως διὰ τὴν λεγομένην κοινήν. ἐὰν γὰρ εἰς μέρος λόγου ἀπαρτίζῃ, τῷ τῆς κοινῆς ὑποπίπτει λόγῳ· οἷον ἡ τὰ συλλαβὴ βραχεῖά ἐστι, καὶ ὅμως ἐν τόπῳ κεῖται μακρᾶς παρὰ τῷ ποιητῇ, ἔνθα φησὶ τὰ περὶ καλὰ ῥέεθρα· ὁμοίως καὶ ἡ πρὸς, ἐν τῷ, πρὸς οἶκον Πηλῆος· σπονδεῖον γὰρ λέγομεν τὸν πόδα πρὸς οἶ· καλῶς δὲ πάλιν προσέθηκε μὴ ὑπάρχειν πλείονα σύμφωνα ἑνὸς ἁπλοῦ διὰ τὴν θέσει μακρὰν, εἰ γὰρ συμβαίη βραχεῖ ἢ βραχυνομένῳ φωνήεντι ἐπενεχθῆναι δύο σύμφωνα, εἴτε κατὰ σύλληψιν εἴτε κατὰ διάστασιν, ἢ ἓν διπλοῦν, θέσει μακρὰ γίνεται, καὶ πρόδηλον τὸ λεγόμενον.

λιπὼν, ὃς ἀντιστρέφει πρὸς τὸ κεφαλαιῶδες· τουτέστιν ἐὰν ἀλλήλων ὑπάρχωσιν οἱ ὅροι αὐτός τε ὁ ὅρος καὶ τὸ ὁριζόμενον, οὕτως ὡς ἐπὶ τοιοῦδε παραδείγματος· ἄνθρωπός ἐστι ζῷον λογικὸν, θνητὸν, νοῦ καὶ ἐπιστήμης δεκτικόν. Εἴ τι οὖν ἐστι ζῷον λογικὸν, θνητὸν, νοῦ καὶ ἐπιστήμης δεκτικὸν, τοῦτό ἐστιν ἄνθρωπος πάντως. Καὶ αὖ πάλιν, φωνή ἐστιν ἀὴρ πεπληγμένος. Εἴ τι οὖν [g] ἐστὶν ἀὴρ πεπληγμένος, τοῦτο φωνὴ πάντως. Οὕτως οὖν καὶ ἐπὶ τοῦ
3 *προκειμένου ὅρου εἴδωμεν τὸ ἀντιστρέφον. Εἴ τι ἐστὶ βραχὺ φωνῆεν, μὴ ἐπὶ τέλους λέξεως κείμενον, [h] μετὰ τῆς ἄλλης συλλαβῆς οὐκ ἔχον σύμφωνα ἑνὸς πλείονα, τοῦτο πάντως ἐστὶ συλλαβὴ βραχεῖα. Προείρηται δὲ τὸ* ΜΗ ΕΠΙ ΤΕΛΟΥΣ ΛΕΞΕΩΣ *κείμενον, διὰ τὴν κοινὴν λεγομένην. [i] [ἐάνπερ εἰς μέρος ἀπαρτίζῃ λόγου, τῷ τῆς κοινῆς ὑποπίπτει λόγῳ· οἷον, ὅταν συλλαβὴ βραχεῖά ἐστιν ἐπὶ τέλους λέξεως κειμένη, ἐνομίσθη ποτὲ μακρὰ, ὡς ἡ [k] παρὰ τῷ ποιητῇ, "[l] τὰ περὶ καλὰ ῥέεθρα." καὶ αὖ πάλιν ἡ "πρὸς" συλλαβὴ βραχεῖά ἐστιν, ἀλλ' ἐν τόπῳ κεῖται μακρᾶς, ὅταν Ὅμηρος εἴπῃ, "[m] πρὸς οἶκον Πηλῆος·" σπονδεῖον γὰρ δεῖ εἶναι τὸν πόδα.] Εἰ δέ φησι μὴ ἔχει [n] σύμφωνον μεταξὺ ἓν, διὰ τὴν μακράν· εἰ γὰρ συμβαίη βραχεῖ ἢ βραχυνομένῳ φωνήεντι δύο σύμφωνα ἐπενεχθῆναι, μακρὰν ποιήσει τὴν συλλαβὴν, οἷον [o] ἡ μὲν συλλαβή ἐστι βραχεῖα· ἀλλ' ἐὰν δύο σύμφωνα ἐπενεχθῇ, ὡς ἐν τῷ "Ἕκτωρ," μακρὰν ποιήσει τὴν συλλαβήν. Διὰ τοῦτο προσέθηκε, μὴ δεῖν ὑπάρχειν σύμφωνα δύο, ἀλλ' ἓν ἁπλοῦν, ἢ μηδὲ ἕν. Καὶ γὰρ ἐὰν διπλοῦν προσενεχθῇ, μακρὰν ποιήσει τὴν συλλαβὴν, ὡς ἐν τῷ, "ἄξω ἑλών."*

[g] *ἔστιν ἀὴρ*] Plutarchus de Musica T. II. p. 1131 D. *ἐπεὶ δ' ὁρίζονται τὴν φωνὴν οἱ ἄριστοι γραμματικοὶ ἀέρα πεπληγμένον αἰσθητὸν ἀκοῇ.* v. Mar. Victorin. p. 2451. Suid. v. *φωνήν.*

[h] *μετὰ τῆς ἄλλης*] Legendum puto, *μεταξὺ ἑαυτοῦ καὶ τῆς ἄλλης συλλ.* BOIVIN.

[i] Uncis inclusa non bene cohærent, sed scholium scholio additum sapiunt, ac videntur e margine in mediam paginam irrepsisse. BOIVIN.

[k] *περὶ* in MS.

[l] Ἰλ. φ'. 352.

[m] Ἰλ. ι'. 147. BOIVIN.

[n] Legendum *σύμφωνα μεταξὺ ἑνὸς πλείονα, διὰ τὴν θέσει μακράν.* BOIVIN.

[o] *ἡ μὲν σ.*] Legendum *ἡ μὲν* E *συλλαβή.* BOIVIN. Vid. c. 1, fin.

III.

[p]Προῆλθε δὲ τὸ μέτρον ἐκ Θεοῦ, μέτρῳ τά τε οὐράνια καὶ ἐπίγεια κεκοσμηκότος· ἁρμονία γάρ τίς ἐστι καὶ τοῖς ἐπουρανίοις καὶ ἐπιγείοις. Ἢ πῶς ἂν ἄλλως συνέστη τόδε τὸ πᾶν, εἰ μὴ ῥυθμῷ τινὶ καὶ τάξει διεκεκόσμητο; Καὶ τὰ ὑφ' ἡμῶν δὲ κατασκευαζόμενα ὄργανα μέτρῳ πάντα γίνονται. Εἰ δὲ πάντα, πολλῷ γε μᾶλλον ὁ λόγος, ἅτε καὶ περιεκτικὸς ἁπάντων ὤν. Ἔστι μὲν γὰρ καὶ τῷ πεζῷ ἁρμονία τίς· καὶ δῆλον ἐξ ὧν τοῦ μὲν ὁ λόγος ἐστὶν εὐρυθμότερος, τοῦ δὲ οὔ· μᾶλλον δὲ πρόσεστι τῷ ποιητικῷ, πάθεσι πλείστοις χρωμένῳ καὶ λέξεσι, καὶ δὴ καὶ μύθοις καὶ πλάσμασι, δι' ὧν ἁρμονία κατασκευάζεται. Ταῦτ' ἄρα καὶ οἱ παλαιοὶ ἐμμέτρους μᾶλλον τοὺς [q]οἰκείους ἐποίουν λόγους, ἢ πεζούς. Καὶ μὴν τῷ μέτρῳ πρόσεστιν ἁρμονία· ἡ δ' ἁρμονία μουσικὴ τυγχάνει· τῆς μουσικῆς δὲ ὅσον κλέος ἐστὶν οὐδεὶς ἀγνοεῖ. Ὥστε καὶ τὸ μέτρον, ἓν τῶν ἀρίστων ὑπὸ τὴν μουσικὴν ὄν, ἧς τὸ κλέος, ὡς Ὅμηρος ἔφη, οἷον ἀκούομεν, οὐδέ τι ἴδμεν.

[p] Addo [ex Cod. Reg. 2765. 2.] tertium fragmentum, quod puto initium fuisse horum ipsorum quæ damus Longini in Hephæstionis Enchiridion προλεγομένων. Nam ea initio carere perspicuum est: et hoc iis exordium ita convenit, ut nullum possit aptius excogitari. Descriptum autem est ex codice Regio, ubi inter alia multa, quæ et ipsa suspicor esse Longini, hoc de metri origine divina legitur. BOIVIN.

[q] οἰκεῖοι λόγοι sunt *sermones familiares*. Quare vertendum: *Idcirco antiqui stricta potius quam soluta oratione in sermone familiari utebantur*. Philosophus in Poëticis, c. 4. Λέξεως δὲ γενομένης αὐτὴ ἡ φύσις τὸ οἰκεῖον μέτρον εὗρε, μάλιστα γὰρ λεκτικὸν τῶν μέτρων τὸ ἰαμβεῖόν ἐστι. Σημεῖον δὲ τούτου· πλεῖστα γὰρ ἰαμβεῖα λέγομεν ἐν τῇ διαλέκτῳ πρὸς ἀλλήλους. Idem in Rhetor. III. 8. ὁ δὲ ἴαμβος αὐτή ἐστιν λέξις ἡ τῶν πολλῶν· διὸ μάλιστα πάντων τῶν μέτρων ἰαμβεῖα φθέγγονται λέγοντες. Demetr. Phal. de Elocut. §. 43. ὁ δὲ ἴαμβος εὐτελὴς καὶ τῇ τῶν πολλῶν λέξει ὅμοιος. Πολλοὶ γοῦν μέτρα ἰαμβικὰ λαλοῦσιν οὐκ εἰδότες. Cicero in Orat. ad M. Brutum §. 189. *Senarios vero et Hipponacteos effugere vix possumus: magnam enim partem ex iambis constat oratio.* TOUP. Sic potius statuendum: οἱ παλαιοὶ sunt antiquissimi scriptores Græcorum, sapientiæ fama nobilitati, Musæus, Orpheus, Hesiodus, Phocylides, Theognis, Simonides, et alii: οἰκεῖοι vero λόγοι sunt *suæ sententiæ, sua cujusque placita.* Nam ut plus auctoritatis haberent decreta sua, versibus ea pronuntiabant antiqui illi Græcorum philosophi. WEISK.

ΣΧΟΛΙΑ.

ΚΕΦ. Α'.

[a] Ὁ μὲν τεχνικὸς τρεῖς μόνους εἶπε τρόπους κοινῆς συλλαβῆς, ὡς πρὸς εἰσαγομένους τὸν λόγον ποιούμενος, οἵ δέ εἰσι δυοκαίδεκα· δύο μὲν, οἱ τὴν μακρὰν εἰς βραχεῖαν καταφέροντες· δέκα δὲ, οἱ τὴν βραχεῖαν εἰς μακρὰν ἀναφέροντες. Καὶ πρῶτός ἐστι τρόπος τῶν τὴν μακρὰν εἰς βραχεῖαν καταφερόντων, οὗτος· (Il. γ'. 164.)

οὔτι μοι αἰτίη ἐσσὶ, θεοί νύ μοι αἴτιοι εἰσί.

Τρεῖς δὲ λέγει παραφυλακὰς ἔχειν· τὸ εἰς μέρος λόγου καταλήγειν, τὸ εἰς φωνῆεν, καὶ τὸ τὴν ἐπιφερομένην λέξιν ἀπὸ φωνή-
2 εντος ἄρχεσθαι. Θάτερος δὲ τρόπος τῶν τὴν μακρὰν εἰς βρα-

[a] Desunt in Fl. ad *ἐμήκυνε τὴν να συλλαβήν.*

p. 2, 4. Ἡ μακρὰ συλλαβὴ—ἀλλὰ κοιναί] Πρῶτον μὲν περὶ τῆς φύσει μακρᾶς διαλαμβάνει, ὕστερον δὲ περὶ τῆς θέσει. Φησὶ τοίνυν μακρὰν φύσει τὴν ἔχουσαν τὸ η ἢ τὸ ω ἢ ἓν τῶν διχρόνων, καὶ ταῦτα γὰρ λέγει ποιεῖν φύσει μακράν· ἀλλὰ καὶ τὰς διφθόγγους, καὶ εὐλόγως. ἡ σύνθεσις γὰρ τῶν δύο φωνηέντων μακρὰν φύσει ποιεῖ μίαν, εἴτε μακρὸν εἴτε καὶ βραχὺ, εἴτε τὰ βράχεα. τὸ δὲ ὡς ἑξῆς εἶναι σύμφωνον τῆς μακρᾶς, ἢ τελικὸν αὐτῆς ἢ τῆς ἑξῆς ἀρκτικὸν, καλῶς προσέθηκεν ἵνα διαστείλῃ τὴν κοινήν. εἰ γὰρ λήγει εἰς φωνῆεν καὶ τὴν ἑξῆς ἔχει ἀπὸ φωνήεντος ἀρχομένην, κοινὴ γίνεται, ὡς τὸ, ἄνδρα μοι ἔννεπε μοῦσα· τὸ αὐτὸ καὶ ἐπὶ τοῦ πλάγχθη ἐπεὶ Τροίας, τὸ αὐτὸ καὶ ἐν τῷ τοῦ κέρα ἐκ κεφαλῆς. ἡ γὰρ ρα συλλαβὴ φύσει ἐστὶ μακρὰ κατὰ κρᾶσιν τῶν δύο αα οὖσα ἀπὸ τοῦ κέραα. θέσει δὲ καλοῦσι μακρὰς οἱ γραμματικοὶ τὰς γινομένας ἐκ τῆς τῶν συμφώνων ἐπιπλοκῆς· καὶ λέγει αὐτῆς τρόπους καὶ διαφορὰς ε'· ἃς καὶ ὁ Διονύσιός φησι. δεῖ δὲ σημειοῦσθαι ὅτι περιφέρει εἰς παράδειγμα συλλαβὴν ἔχουσαν βραχὺ φωνῆεν ἐπιφερομένην (ων) αὐτῇ δύο συμφώνων τῆς ἑτέρας συλλαβῆς, τὸ ἕκτωρ, πάνυ ἁρμοδίως. ἀπὸ γὰρ τοῦ ἔχω ἔξω γέγονεν, ὁ ἐχόμενος καὶ ἀντιλαμβανόμενος τῆς οἰκείας πόλεως. οὐ γάρ ἐστι ἐκ τῆς ἐκ προθέσεως· ἵνα τις ὑπολάβῃ τὸ κ εἶναι μετὰ τοῦ ε καὶ τὴν τωρ συλλαβὴν κατ' ἰδίαν. S.

p. 5. Κοινὴ συλλαβὴ] Καλῶς οὐχ ὡρίσατο τὴν κοινὴν συλλαβήν· οὐ γάρ ἐστιν, ἀλλὰ γίνεται. τῶν δὲ μὴ ὄντων οὐ δεῖ παρέχειν ὅρους ὡς ὄντων· ἐν μέσῳ δὲ ἀμφοῖν κειμένη κοινὴ προσαγορεύεται.—Ἰστέον δὲ ὅτι ὁρίζονται τινὲς αὐτὴν οὕτως. Κοινή ἐστι συλλαβὴ ἀμφίδοξος συλλαβῆς δύναμις, ἢ πρὸς ἀμ-

χεῖαν καταφερόντων ἐστὶν, ὅταν δύο σύμφωνα ἐπιφέρηται ἐν συλλήψει· τὸ μὲν δεύτερον, ἀμετάβολον, τὸ δὲ ἡγούμενον, ἓν τῶν ἀφώνων· οἷον,

Πάτροκλέ μοι δειλῇ πλεῖστον κεχαρισμένε θυμῷ.

3 Τρίτος τρόπος κοινῆς συλλαβῆς, ὅταν βραχεῖα οὖσα καταπεραιοῖ εἰς μέρος λόγου, καὶ τὴν ἑξῆς ἔχῃ ἀπὸ φωνήεντος ἀρχομένην· οἷον,

Νέστορα δ' οὐκ ἔλαθεν ἰαχὴ πίνοντά περ ἔμπης.

καὶ πάλιν,

οἱ δὲ μέγα ἰάχοντες ἐπέδραμον υἷες Ἀχαιῶν.

4 Τούτων οὖν τῶν τριῶν τρόπων, ὁ μὲν, φύσει, φαίνεται ἐν τῷ,

Οὔτι μοι αἰτίη ἐσσί·

ὁ δὲ, θέσει, ἐν τῷ,

Πάτροκλέ μοι δειλῇ.

ὁ δὲ βραχὺς, ἐν τῷ,

Οἱ δὲ μέγα ἰάχοντες ἐπέδραμον.

5 Σημείωσαι δὲ ὅτι κἂν τὴν ἑξῆς ἔχῃ ἀπὸ συμφώνου ἀρχομένην, λήγῃ δὲ ἡ πρώτη εἰς φωνῆεν, κοινὴν ποιεῖ συλλαβήν· οἷον,

ἀλλὰ τά γ' ἄσπαρτα καὶ ἀνήροτα πάντα φύονται.

φότερα δύναται λαμβάνεσθαι· τῷ δὲ Ἡφαιστίωνι ὅρον οὐκ ἔδοξεν αὐτῆς θεῖναι, οὐδὲ τῆς θέσει μακρᾶς. καὶ εἰκότως· ἐπειδὴ φασὶν ὅτι οὐκ ἐξ αὐτῶν εἰσὶν, ἀλλὰ θέσει ἢ μακραὶ ἢ βραχεῖαι γίνονται. περιτταὶ (ὂν) δὲ τῆς μὴ οὔσης ὅρον ἀποδοῦναι· οἱ γὰρ ὅροι τῶν ὄντων φύσει. Εἷς τρόπος δέ ἐστι τῆς κοινῆς συλλαβῆς, εἰ καὶ αὐτὸς δοκεῖ ἁπλῶς τρεῖς λέγειν τρόπους· ὡς καὶ ὁ Διονύσιος. ὅταν γὰρ εἰς μακρὰν λήγῃ καὶ ἀπαρτίζῃ εἰς μέρος λόγου καθαρὸν, καὶ τὴν ἑξῆς ἔχει ἀπὸ φωνήεντος ἀρχομένην, κοινὴ γίνεται. καὶ τοῦτο πάνυ πρόδηλον ἐκ τῶν παραδειγμάτων. κεχρήμεθα δὲ αὐτῇ καὶ ἡμεῖς ἡνίχ' ἂν ποιῶμεν τὸν ἀμφίμακρον καὶ παλιμβάκχειον πόδα.—Ἰστέον δὲ ὅτι καλῶς φησὶν ὅτι ῥᾷον γίνεται ἡνίκα ἀπαρτίζῃ εἰς μέρος λόγου καθαρὸν ἡ μακρά· γίνεται γὰρ καὶ ἐν μέτρῳ (μέσῳ) λέξεως καὶ ἐν ἀρχῇ λέξεως κοινή. ἀλλ' οὐχ οὕτως ῥᾷον καὶ εὐχερές. καὶ φέρει ἐν διαφόροις μέτροις τὰ παραδείγματα, etc. S. Multa hic omisi, quæ non magni sunt momenti.

Infra p. 9, 4. ad Παρθένιος—Ἀρχελαΐδος ita pergit S.: Ἰστέον δὲ ὅτι καὶ ὁ Φιλόπονος εἰς ἐπίγραμμα Καισαρείας ὡσαύτως ἐποίησε. τὸ δὲ ἀμυσχρὸν τινὲς ἐν αὐτῇ τῇ χρήσει, ἀμυσχρόν φασιν, ὃ σημαίνει τὸ ἀδύνατον.

Ad p. 11, 11. Plura exempla hujus correptæ diphthongi affert S. Ἔτι δ' ἐστὶν εὑρεῖν καὶ ἄλλοις· ὡς παρὰ Σοφοκλεῖ ἐν Οἰδίποδι τῷ ἐπὶ Κολωνῷ, ἔνθα φησὶ, (1136) μόνοις οἴονται συνταλαιπωρεῖν τάδε. ἐν γὰρ τῷ δευτέρῳ ποδὶ τὴν οι συνέστειλεν. ἀλλὰ καὶ Ἀριστοφάνης ἐν Ἱππεῦσιν (477) ὡσαύτως, ἔνθα φησὶ καὶ τὰ Βοιωτῶν ταῦτα συντηρούμενα. καὶ πάλιν ὁ αὐτός· πῶς

6 ([b]Ἄλλως.) Τῶν δὲ τὴν βραχεῖαν εἰς μακρὰν ἀναφερόντων πρῶτος οὗτος τρόπος, ὅταν βραχεῖα οὖσα κατεπεραιοῖ εἰς μέρος λόγου, καὶ τὴν ἑξῆς ἔχῃ ἀπὸ φωνήεντος ἀρχομένην, οὐ τοῦ τυχόντος φωνήεντος ἀρχομένου, ἀλλὰ τοῦ ι, ὡς ἐν τῷ,

οἱ δὲ μέγα ἰάχοντες ἐπέδραμον υἷες Ἀχαιῶν.

καὶ,

Νέστορα δ' οὐκ ἔλαθεν ἰαχὴ πίνοντά περ ἔμπης.

7 Δεύτερος δὲ τρόπος τῶν τὴν βραχεῖαν εἰς μακρὰν ἀναφερόντων, ὁ διὰ τῆς ὀξείας. Αὕτη οὖν ἡ ὀξεῖα ἐπικειμένη τινὶ τῶν βραχέων ἢ βραχυνομένων διχρόνων μηκύνει· ὡς ἐπὶ τοῦ, (Il. μ'. 208.)

Τρῶες δ' ἐρρίγησαν ἐπεὶ ἴδον αἰόλον ὄφιν.

ἰδοὺ ὁ τελευταῖος πούς πυρρίχιος μὲν ὑπάρχει· ἐπειδὴ δὲ τὴν ὀξεῖαν ἔχει ἐπικειμένην ἐπὶ τὸ ο, ἀντὶ τροπῆς παρείληπται τῆς ὀξείας μηκυνούσης τὸ ο, καὶ οὐκ ἀκαίρως· δοκεῖ γὰρ ἡ ὀξεῖα ἀνατεινομένη τῇ τε φωνῇ καὶ αὐτῇ τῇ θέσει καὶ διατυπώσει τοῦ χαρακτῆρος ἑαυτῆς τὴν βραχεῖαν ἀνακαλεῖσθαι εἰς ἑτέραν τάξιν.

8 Ἡ οὖν ὀξεῖα τοιαύτην ἔχει φύσιν καὶ δύναμιν, ὡς μὴ μόνον ἐπι-

[b] Ἄλλως addidi monente Pauwio.

οὖν ὁ τυρὸς ἐν Βοιωτοῖς ὀνήσιμος (sic). τὴν βοι συνέστειλεν ἐν τετάρτῳ ποδί. ἀλλὰ καὶ Μένανδρος ἐὰν (ἐν) Ἐπιτρέπωσιν, (ουσιν) οἱ τηλικοῦτοι καὶ τοιοῦτοι τῷ γένει. τὴν τοι ἐν τετάρτῳ ποδὶ συνέστειλε. τὸ αὐτὸ δ' ἐστὶ καὶ ἐπὶ τῆς αι διφθόγγου, ὡς Εὔπολις ἐν Ἀστρατεύτοις φησὶν, Ἀθηναίων εἰ βούλεται τις ἐγγράφειν, ἐν δευτέρῳ ποδὶ τὴν αι συνέστειλε. παρὰ δ' Ἱππώνακτι ἐπὶ τῆς αι καὶ οι διφθόγγου πολλή ἐστιν ἡ χρῆσις. οὐ δεῖ δὲ ἡμᾶς τοὺς νεωτέρους χρῆσθαι· εἰ δέ τις χρήσαιτο ἔχει ἀπολογίαν· οὔτε γὰρ εἰσὶ μακραὶ φησὶν ἡ αι καὶ ἡ οι δίφθογγοι, ἀλλ', ὡς ἐν τῷ περὶ τόνων δείκνυται, αὗται πρὸς ἕνα ἥμισυ χρόνον ἔχουσι χρόνον, τῆς φύσει μακρᾶς δύο ἐχούσης, ὅθεν καὶ ἐπὶ τέλους οὖσαι ἔχουσι πολλάκις τὸν προπαροξύτονον τόνον. εἶτα φέρει ὁ τεχνικὸς παραδείγματα ἐπὶ τῆς οι διφθόγγου· ἥτις πάλιν ἔχει ἀπολογίαν ὅτι ἀσθενεστέρα ἐστὶν, ὡς ἐκ δύο ὑποτακτικῶν τῆς υ καὶ ι συνεστηκυῖα· ὅθεν οὐδέποτε ἐν τέλει λέξεως εὑρίσκεται, ἀλλ' ἐν μέσῳ τὴν κοινὴν ἐποίησεν. Ἔστι δ' εὑρεῖν τὴν ου δίφθογγον ποιοῦσαν κοινήν· οἷον παρ' Ἀριστοφάνει (Nub. 836.) ὥσπερ τεθνεῶτος καταλούειν μου τὸ βιβλίον. (sic) τὴν γὰρ λου συλλαβὴν ἐν τετάρτῳ ποδὶ ἰάμβῳ συνέστειλεν· ὁμοίως καὶ τὴν ευ εὑρίσκομεν ποιοῦσαν κοινήν· οἷον ἐν τῷ πρώτῳ ἰάμβῳ Ἱππώνακτος, ἔνθα φησὶ, Μακάριος ὅστις θηρεύει, τὴν ρευ ἐν τετάρτῳ ποδὶ συνέστειλε· καὶ πάλιν ὁ αὐτὸς ἐν δευτέρῳ ποδὶ τὴν ευ· καίτοι γ' εὔωνον αὐτὸν εἰ θέλεις δώσω.—Ἰστέον δὲ ὅτι ἡ τοῦ ποιητοῦ χρῆσις ἡ ἔχουσα τὴν οι τὴν ἀντὶ βραχείας παραλαμβανομένην, ἀλλ' ἐν ἀμφιμάκρῳ, ὡς ἐν τῷ ὁρῶν ἄειδε τοιαῦτα, καὶ τοῖς ὁμοίοις, ὁ δ' Ἡλιόδωρος ἔλεγεν αὐτὸ κατὰ συνίζησιν. εὑρίσκεται δ' ἁπλῶς ἐν μέσῳ λέξεως κοινή, καὶ

κειμένη ἐπάνω βραχείας μηκύνειν αὐτὴν, ἀλλὰ καὶ προκειμένη καὶ μετακειμένη δύνασθαι τῇ βραχείᾳ χρόνον χαριεῖσθαι· ὡς ἐπὶ τοῦ, (Il. δ'. 76.)

ἢ ναύτῃσι τέρας

ἡ ΡΑΣ συλλαβὴ, βραχεῖα οὖσα, διὰ τῆς προκειμένης ὀξείας ἐμη-
9 κύνθη· μετακειμένη δὲ, ὡς ἐπὶ τούτου τοῦ ἔπους, (Il.. ζ'. 62.)

Αἴσιμα παρειπών· ὁ δὲ ἀπὸ ἔθεν ὤσατο χειρί

τὴν [c]ΠΟ βραχεῖαν οὖσαν ἡ ὀξεῖα τοῦ ῾ΕΘΕΝ ἐμήκυνεν· ὅθεν ὁ στίχος δοκῶν πάθος ἔχειν τὸ λεγόμενον λαγαρὸν, ἀπαθὴς, ὡς οἷόν τε, γέγονε διὰ τῆς ἐπιφορᾶς τῆς ὀξείας· ἐπὶ δὲ τοῦ δευτέρου ποδὸς, μὴ ἐσχηκὼς μηδεμίαν βοήθειαν, ἔμεινε τὸ προλεχθὲν πάθος τὸ λαγαρόν. [d]Τοῦ γὰρ ΠΑΡΕΙΠΩΝ τὸ Α οὐδεμίας τῶν δέκα τρόπων ἔτυχε βοηθείας, τῶν ἀναφερομένων τὴν βραχεῖαν εἰς μακρὰν, ὥσπερ ἐπὶ τοῦ ῾ΕΘΕΝ, ἐπιφερομένης τῆς ὀξείας ἐμηκύνθη.

c ΠΟ βραχεῖαν] Sic recte Pauwius. Erat ἀπὸ βραχείας.

d Scribe: τοῦ γὰρ ΠΑΡΕΙΠΩΝ τὸ Α, οὐδεμίας τῶν δέκα τρόπων ἔτυχε βοηθείας, τῶν ἀναφερόντων τὴν βραχεῖαν εἰς μακρὰν, ὥσπερ ἐπὶ τοῦ ῾ΕΘΕΝ ἐπιφερομένης τῆς ὀξείας, ὃ ἐμηκύνθη. PAUW.

ἐν παλιμβακχείῳ, ὡς καὶ παρὰ Τυρταίῳ ἥρωες· οὕτω γὰρ ἔλαβε τὸν δεύτερον πόδα τοῦ στίχου. S.

Ἰστέον δὲ ὅτι τῆς κοινῆς συλλαβῆς ὁ Ἡφαιστίων οὐδαμῶς· (sic) οὐ γάρ ἐστι κοινή· διὸ καλῶς φησι, γίνεται δὲ κοινὴ, καὶ οὐκ ἔστιν· ὅτι γὰρ οὐκ ἔστιν οὐδὲ μία κοινὴ συλλαβὴ δῆλον· εἰ γάρ τις ἡμᾶς ἐρωτήσει ποῖα ἐστὶ συλλαβὴ μακρὰ, ἀποφαντικῶς ἐροῦμεν ἡ μη καὶ βω, ὁμοίως καὶ βραχεῖα ἡ με καὶ ἡ βο· καὶ πάλιν μακρὰ ἡ χη καὶ μοι· καὶ ὅμως ὁ ποιητὴς ἑκατέρα τούτων ἐν τῷ πλάγχθη ἐπὶ Τροίης, καὶ ἐν τῷ ἄνδρα μοι ἔννεπε μοῦσα ὡς βραχεῖα κέχρηται. καὶ ὅμως οὐκ εἰσὶ βραχεῖαι, ἀλλὰ κοιναὶ γίνονται. τοῦτο καὶ ἐπὶ πάσης κοινῆς. S.

Ἰστέον δὲ ὅτι τῶν τεχνικῶν καὶ μετρικῶν λεγόντων περὶ τῆς φύσει μακρᾶς μὴ θέλειν αὐτὴν τὴν μακρὰν εἰς φωνῆεν καταλήγειν, καὶ τὴν ἑξῆς ἔχειν ἀπὸ φωνήεντος ἀρχομένην, ἀλλὰ πάντως ἔχειν μεταξὺ σύμφωνον· τότε γὰρ οὐ γενήσεται μακρὰ ἵνα ἐστὶ καθαρὰ, ἀλλὰ κοινή. λέγει ὁ Ἡλιόδωρος βοηθῆσαι τῷ τοιούτῳ τρόπῳ καὶ μεῖναι αὐτὴν μακρὰν καὶ μὴ γίνεσθαι κοινὴν κατὰ η τρόπους. πρῶτον μὲν ὅτε στιγμὴ ἐπιφέρεται αὐτῇ τῇ μακρᾷ· οἷον, [Od. ε'. 80.] ἀθανάτοι· οὐδ' εἴ τις ἀπόπροθι δώματα ναίει. Δεύτερον δὲ, ἐὰν αὐτὴ ἡ μακρὰ περισπᾶται, οἷον, [1]τῷ Ἀσκληπιάδη, [2]ἐλθὼν δ' οὐδ' ἔτι πω εἶπας οὐδ' ἐτέλεσας. τὸ γὰρ εἶπας. Τέταρτον, ἐὰν ἀπὸ (αὐτῇ) ὀξεῖα ἐπιφέρηται· οἷον, (Il. ζ'. 377.)

1 τῷ Ἀσκ.] ex Il. λ'. 613.

2 ἐλθὼν] Ante h. v. exciderunt τρίτον δὲ et plura. Tum l. ex Il. α'. 108. ἐσθλὸν δ' οὔ τί πω εἶπας ἔπος οὔτ' ἐτέλεσσας.

Καὶ ἔξεστι τούτοις τοῖς δέκα τρόποις κεχρῆσθαι· ἡμῖν δὲ τῶν δέκα τρόπων ἑνὶ μόνῳ ἔξεστι κεχρῆσθαι, ὃν μετ' ὀλίγον ἐροῦμεν.

Τρίτος τρόπος, ὁ διὰ τῆς περισπωμένης. Αὕτη τοίνυν προκειμένη καὶ μετακειμένη· οὐ γὰρ τίθεται ἐπάνω βραχείας· τῆς γὰρ περισπωμένης ἐκ δύο τότε (τόνων?) συγκειμένης, καὶ ἐπιζητούσης τὴν συλλαβὴν, δύο χρόνους ἔχουσι φύσει, οὐ θέσει. Οἱ γὰρ τόνοι, ὡς φύσει ὄντες, καὶ τὰς φύσει μακρὰς ἴσασι, καὶ οὐχὶ τὰς διὰ συμφώνου θέσει μακρὰς γιγνομένας, τῆς βραχείας χρόνον ἐχούσης, καὶ μὴ δυναμένης ὑποδέξασθαι τῶν δύο χρόνων τὴν τονικὴν δύναμιν. Αὕτη τοίνυν περισπωμένη τῇ πρὸ αὐτῆς ἢ τῇ μετ' αὐτὴν δύναμιν χαρίζεταί τινα, καὶ ἀπὸ βραχείας εἰς μακρὰν ἀναφέρει· καὶ τὴν μὲν πρὸ αὐτῆς, ὡς ἐπὶ τοῦ, (Il. ζ'. 81.)

πάντη ἐποιχόμενοι, πρὶν αὖτ' ἐν χερσὶ γυναικῶν,

τοῦ γὰρ ΠΡΙΝ τὸ Ι συστελλόμενον ἐμηκύνθη διὰ τῆς ἐπιφερομένης· τὴν δὲ μετ' αὐτὴν, ὡς ἐπὶ τοῦ, (Il. ζ'. 366.)

οἰκῆας ἄλοχόν τε φίλην——

πάλιν γὰρ τὸ ΑΣ συστελλόμενον διὰ τῆς προκειμένης περισπωμένης μηκύνεται.

πῇ ἔβη Ἀνδρομάχη λευκώλενος; Πέμπτον, ἐὰν δασυνομένη λέξις ἐπιφέρηται, οἷον, (Il. α'. 98.) **δῶμεν (δόμεναι) ἑλικώπιδα κούρην, τὸ γὰρ ἑλικώπιδα** ἐπιφέρει δασυνόμενον. Ἕκτον, ὅτε συγκρουσμὸς καὶ συνέχειά ἐστι συναλοιφῆς γινομένης, (Il. η'. 284.) **Ἰδαῖ' ἕκτορι κελεύει ταῦτα μυθήσασθαι. Ἰδαῖε** γάρ ἐστι τὸ ἐντελές. Ἕβδομον, ὅτε ὁ η διαζευτικὸς ἐπιφέρεται· (Il. α'. 145.) **ἢ Αἴας, ἢ Ἰδομένευς, ἢ δῖος Ὀδυσσεύς.** Περὶ δὲ τῆς ας συλλαβῆς, τοῦτο φησὶ δεῖ παρατηρῆσαι, ὅτι πρὸ τοῦ η κεῖται σύμφωνον ἐν τῷ ας, καὶ ὅμως ὥσπερ ἀμφιβαλλομένης καὶ οὐχ ὁμολογουμένης μακρᾶς φησὶν ὁ Ἡλιόδωρος. Ὄγδοον, ὅτε τὸ ι ἐπιφέρεται, οἷον, (Il. ω'. 80.) **ἡ δὲ μολυβδαίνῃ ἰκέλη εἰς βυθὸν ὄρουσεν.** S.

p. 11, 17. *Δεύτερος δέ ἐστι τρόπος—ὅπλον, ἄκρον*] Καλῶς πρόκειται ἐν συλλήψει· ἐὰν γάρ εἰσιν ἐν διαστάσει οὐ ποιοῦσι κοινὴν, ἅτε δὴ τοῦ διαστήματος ἐν τῷ διαχωρίζειν τὰ σύμφωνα μείζονος γινόμενον (sic), καὶ μὴ οὔσης ὀλισθηρᾶς ἐν συντόμου (sic) φωνῆς ὥστε δύνασθαι λαθεῖν. Ζητοῦσι δέ τινες διά τι μὴ τὰ δύο ὅμοια ποιοῦσι κοινήν· λέγω δὴ δύο ἡμίφωνα ἢ δύο ἄφωνα ἢ ἀμετάβολα. καὶ λέγομεν περὶ τῶν ἡμιφώνων ὡς ὅλως ἡμίφωνον οὐ προηγεῖται ἡμφώνου κατὰ σύλληψιν, εἰ μὴ σπανίως καὶ εἰς τινὰ κατὰ πάθος. τὸ σ τοῖς ἀμεταβόλοις ὑποτάσσεται, τῷ λ μ ν ρ, ὥσπερ αὐτός φησι, τὸ μάσλης, καὶ πάσνης. εἶτα καὶ ὁ Ἡρωδιανὸς φησὶν ἐν τῇ καθόλου· τὸ δὲ δάσληρα· ἔστι δὲ λίμνη Κυρήνης τῆς πενταπόλεως, ὅθεν ἦν ὁ Καλλίμαχος· τὰ γὰρ κατὰ τὸ τέλος ἔμπαλιν ἔχοντα τὸ λ τοῦ σ προηγούμενον πάλιν δι' ἀνάγκην· δι' ἀνάγκην γὰρ τὸ ἅλς καὶ τίρυνς καὶ μάκαρς. κατὰ πάθος δὲ, ὡς τὸ μάσλης ἀπὸ τοῦ μάσθλης, καὶ ἐσλὸς ἀπὸ τοῦ ἐσθλός. περὶ δὲ τῶν ἀφώνων εἰπεῖν, ὅτι ἀσθε-

11 Τέταρτος τρόπος ὁ διὰ τῆς δασείας. Αὕτη τοίνυν ἡ δασεῖα, ἐπικειμένη, καὶ μετακειμένη, καὶ προκειμένη, τὴν βραχεῖαν εἰς μακρὰν ἀνάγει· ἐπικειμένη μὲν, ὡς ἐπὶ τοῦ, (Il. α'. 193.)

e ἕως ὁ ταῦθ' ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμόν.

προκεφάλου γὰρ ὄντος τοῦ στίχου, τὸ μὲν Ε ἐν ἀρχῇ οὐ μετρεῖται· τὸ δὲ ῾ΩΣ ο, ἀντὶ σπονδείου παραλαμβάνεται, τῆς δευτέρας συλλαβῆς τὸ ο μόνον ἐχούσης, καὶ μὴ ἐπιφερομένων δύο συμφώνων· ἀλλ' ἡ δασεῖα ἐπικειμένη ἐμήκυνεν αὐτὴν τῷ πνεύματι, καὶ τῇ διαστάσει τῶν φωνητικῶν ὀργάνων, τῶν μᾶλλον διατεινομένων ἐν τῇ προφορᾷ τοῦ πλείονος πνεύματος· προκειμένη δὲ, ὡς ἐπὶ τοῦ

e Eustathius Il. α'. p. 80=60, 50. Τὸ δὲ ῾ΕΩΣ ῾Ο ΤΑΥΘ' ΩΡΜΑΙΝΕ πάθος ἔχει περὶ τὴν τοῦ στίχου καταρχὴν, προκεφάλου εἴτουν μακροκεφάλου ὄντος. Τὸν γὰρ πρῶτον τόπον ποὺς ἐπέχει ἀμφίβραχυς ῾ΕΩΣ ῾Ο. ῾Ο δὲ ἀμφίβραχυς ἀνοίκειος μέτρῳ δακτυλικῷ εἰ μὴ θεραπεύοιτο, καθάπερ καὶ ἐνταῦθα θεραπεία τις τῷ πάθει τῆς τοῦ στίχου κεφαλῆς ἐφεύρηται. Τὸ μὲν γὰρ ῾ΕΩΣ κατὰ λόγον συνιζήσεως εἰς μίαν καταλογίζεται μακρὰν συλλαβήν· τὸ δὲ Ο κατὰ τέσσαρας τρόπους κοινῆς συλλαβῆς ἐκ τοῦ ταπεινώματος τῆς βραχείας ἀνίσταται μηκυνόμενον. Καὶ γὰρ καὶ δασύνεται, καὶ τόνον ἔχει ὀξὺν, κἂν ἡ συνέπεια βαρύνῃ αὐτό· καὶ εἰς μέρος δὲ λόγου καταπεραιοῖ, καὶ διὰ τοῦτο δύναται στίζεσθαι· ἔχει δὲ καὶ τὸ τ ἐπαγόμενον.

νέστερα εἰσι μᾶλλον τῶν ἄλλων στοιχείων, καὶ εὑρέθησαν σπανίως ποιοῦντα κοινὴν ἐν αὐτοῖς. τὸ π τὸ τ καὶ τὸ κτ· ὡς παρὰ τῷ ποιητῇ· (Od. δ. 229.) αἰγυπτίη τῇ φέρη πλεῖστα ζείδωρος ἄρουρα. εἶτα καὶ ὅτι τῷ λόγῳ τῆς κοινῆς οἱονεὶ βραχείας τὸ πτ διπλαζιάζεται, τὸ κέκτηκα καὶ πέπτωκα, εἰ μὴ ἄρα κατὰ συγκοπὴν εἴπωσιν ἐδείχθει (ἐδείχθη) σὺν θεῷ ἐν τῷ περὶ 3 ῥημάτων. S.

Ad p. 16, 1. Τοῦτο δὲ ψεῦδος· εἰσὶ γὰρ πολλαὶ πάνυ χρήσεις, εἰσὶ δὲ καὶ ἄλλα πολλὰ καὶ μάλιστα αὐτοῦ τοῦ θμ· οἷον παρ' Ἀριστοφάνει ἐν Πλούτῳ· (759.) ἐμβὰς γερόντων εὐρύθμοις προβλήμασιν· καὶ ἐν Νεφέλαις, (628.) πότερον περὶ μέτρων ἢ ῥυθμῶν· πάλιν, (637.) ταχύ γ' ἂν δύναιο μανθάνειν περὶ ῥυθμῶν· καὶ, τί δ' ἄν μ' ὠφελήσειαν οἱ ῥυθμοὶ πρὸς τ' ἄφιλτα (sic)· καὶ (640.) ἐπαΐειν ὁποιός ἐστι τῶν ῥυθμῶν. καὶ ἐν Βατράχοις (1361.) ἐπὶ τὸν σταθμὸν γὰρ αὐτὸν ἀγαγεῖν βούλομαι. παρὰ (περὶ) δὲ Κρατίνου λέγομεν ὅτι διὰ τοῦτο εἶπεν ἐλήλυμεν, ἔστι γὰρ καὶ παρὰ Ἐπιχάρμῳ, οἷον αὐτὸς παρατίθεται ὁ μετρικὸς, ἤδη (ἦδε) χρῆσις ἐν Κύκνῳ, τοιοῦδε φωτὸς πρὸς δόμους ἐλήλυμεν. οὐ κεῖται δ' οὕτως ἡ χρῆσις, ἀλλὰ Κύκνου δὲ πρῶτοι πρὸς δόμους ἐλήλυμεν· καὶ οὕτως δεῖ γράφειν, ὅστις κατ' ἀναλογίαν ἐχρήσατο καὶ τῷ β' προσώπῳ ἐλήλυτε. οὐκ ἄρα οὖν διὰ τὸ κοινὴν μὴ ποιεῖν τὸ θμ ὁ Κρατῖνος ἀπεβάλετο θ τοῦ ἐλήλυθμεν, εἰπὼν ἐλήλυμεν. S.

p. 17, 7. Τρίτος δέ ἐστι τρόπος] Γίνεται δὲ κοινὴ κατὰ τρίτον, ὅταν βρα-

3 ῥημάτων] Vid. Chœrobosc. in Theodos. p. 553, 29.

παρόντος τουτουῒ στίχου, (Il. η΄. 353.)

ἔλπομαι ἐκτελέεσθαι, ἵνα μὴ ῥέξομεν ὧδε.

τοῦ γὰρ ʽΙΝΑ τὴν ΝΑ συλλαβὴν βραχεῖαν οὖσαν, ἡ ἐπὶ τοῦ ι δασεῖα προκειμένη ἐμήκυνεν. Ἀλλ᾽ εἴποι τὶς ὅτι τὸ ΜΗ ἐπιφερόμενον ἐμήκυνε τὴν ΝΑ συλλαβήν.

12 [f] Ἰστέον δὲ ὅτι ἄλλως λαμβάνουσι τὸν χρόνον οἱ μετρικοὶ, ἤγουν οἱ γραμματικοὶ, καὶ ἄλλως οἱ ῥυθμικοί· οἱ γραμματικοὶ ἐκεῖνον μακρὸν χρόνον ἐπίστανται, τὸν ἔχοντα δύο χρόνους, καὶ οὐ καταγίνονται εἰς μεῖζόν τι· οἱ δὲ ῥυθμικοὶ λέγουσι τόνδε εἶναι μακρότερον τοῦδε, φάσκοντες τὴν μὲν τῶν συλλαβῶν εἶναι δύο ἡμίσεως χρόνων, τὴν δὲ τριῶν, τὴν δὲ πλειόνων· οἷον τὴν ΩΣ, οἱ γραμματικοὶ λέγουσιν εἶναι δύο χρόνων· οἱ δὲ ῥυθμικοὶ δύο ἡμίσεως· δύο μὲν τοῦ Ω μακροῦ, ἡμίσεως δὲ χρόνου τοῦ Σ. Πᾶν γὰρ
13 σύμφωνον λέγεται ἔχειν ἥμισυν χρόνον. Ἰστέον ὅτι παρὰ τοῖς μετρικοῖς ἡ ὀξυτονουμένη συλλαβὴ μείζων ἐστι τῆς βαρυνομένης, οἷον ἡ ΛΟΣ συλλαβὴ ἡ ἐν τῷ ΚΑΛΟ͂Σ, μείζων ἐστὶ τῆς ἐν τῷ

[f] Hæc, usque ad finem capitis, in Ed. Fl. leguntur post vocem παραλαμβάνει. p. 92. ed. Turn. Sc. sub finem capitis x. περὶ τοῦ ἀναπαιστικοῦ.

χεῖά ἐστιν ἀπαρτίζουσα εἰς μέρος λόγου, καὶ οὐκ ἔχῃ δύο σύμφωνα ἐπιφερόμενα, ἀλλ᾽ ἢ ἓν ἁπλοῦν ἢ μηδὲ ἕν. ἐπεὶ εὑρεθήσεται θέσει μακρὰ γινομένη. Ἰστέον δὲ ὅτι οὐκ ἐχρησάμεθα ἡμεῖς ταύτῃ τῇ κοινῇ, ἀλλὰ μᾶλλον οἱ ποιηταί· οἷον, τὸ Νέστορα δ᾽ οὐκ ἔλαθεν ἰαχὴ πίνοντά περ ἔμπης, καὶ Αἴαντι δὲ μάλιστα δαΐφρονι θυμὸν ὄρινε· Καὶ Οἱ δὲ μέγα ἰάχοντες· καὶ μὲν οἱ Λύκιοι τέμενος τάμον· καὶ μὲν σπονδεῖον ἐν ἀρχῇ στίχου. ἔσχε δέ τι ἐξαίρετον αὕτη παρὰ τὰς ἄλλας χρήσεις ὅτι εἰς τέλος ἐστὶ ποδὸς, καὶ οὐκ εἰς ἀρχὴν ὡς αἱ προειρημέναι.—Περὶ δὲ ταύτης τῆς βραχείας τῆς ἀντὶ κοινῆς λαμβανομένης λέγει ὁ Ἡλιόδωρος δέκα τρόπους ποτὲ δὴ καὶ πῶς εὑρίσκεται, φησὶ γὰρ οὕτως· "ἡ βραχεῖα ἡ τοιαύτη εἰς τόπον μακρὸν κοινὴ εὑρίσκεται, "ὅτε τὸ ϊ ἐπιφέρεται, ὡς ἐν τῷ οἱ δὲ μέγα ἰάχοντες." Δεύτερος δὲ τρόπος, ὅταν ἡ ὀξεῖα ἐπίκειται αὐτῇ τῇ βραχείᾳ συλλαβῇ, οἷον, Τρῶες δ᾽ ἐρρίγησαν ὅπως ἴδον αἰόλον ὄφιν. Διήρηται γὰρ ὁ τρόπος τῆς ὀξείας διαφόρως, ἢ προηγουμένης ἢ ἐπικειμένης, ὡς δέδεικται, ἢ ἐπιφερομένης· προηγουμένης μὲν, ὡς τὸ, ἠὲ ναύτῃσι τέρας ἠὲ στράτῳ εὐρέϊ λαῶν· ἐπιφερομένης δὲ, ὅσον ἤδη τά τ᾽ ἐόντα τά τ᾽ ἐσσόμενα πρό τ᾽ ὄντα.—Τρίτος τρόπος ὁ ἀπὸ τῆς περισπωμένης ἐὰν ἐπιφέρηται, οἷον, ἕως ὁ ταῦθ᾽ ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμόν· τὸ ε καὶ τὸ ως εἰς μίαν μακρὰν κατὰ συνίζησιν ποδίζεται, ὡς εὐθέως προϊόντες γνωσόμεθα. ὁμοίως καὶ τὸ, πάντοι ἐποιχόμενοι πρὶν αὖτε χερσὶ γυναικῶν. καὶ εἰ προηγεῖται ἡ περισπωμένη, οἷον, οἰκῆας ἄλοχόν τε φίλην καὶ νήπιον υἱόν. Τέταρτος δὲ τρόπος ὁ ἀπὸ τῆς δασείας ἢ ἐπικειμένης, αἴας δ᾽ ὁ μέγας

ΨΙΛΟΣ· γίνεται γὰρ βραδύτης τὶς τοῦ χρόνου, ὡς καὶ ἐν τῇ δασείᾳ λέγεται, διὰ τῆς ὀξείας· ἡ δὲ περισπωμένη ἐστὶ τῶν δύο, τῆς μὲν μακρᾶς βραχυτέρα, τῆς δὲ βραχείας μακροτέρα. Πάλιν ἡ ὀξυτονουμένη συλλαβὴ, ἐπιφερομένου ἐγκλιτικοῦ καὶ προαναπέμποντος ἐν αὐτῇ τῇ συλλαβῇ τὸν τόνον, μείζων ἐστὶ τῆς ἁπλῶς ὀξυτονουμένης καὶ μὴ ἐπιφερομένου ἐγκλιτικοῦ, οἷον, (Il. ί. 457.)

Ζεύς τε,

(Od. ψ'. 13.)

καί τε χαλιφρονέοντα.

Ὑγρὰ στοιχεῖα λέγεται τὰ ἀμετάβολα.

14 Ἰστέον ὅτι ὅταν αἱ δίφθογγοι καθαριεύωσι, καὶ τὰ μακρὰ τῶν φωνηέντων πρὸς τὴν ἑξῆς συλλαβὴν, ἤτοι ὅταν φωνῆεν ἐπιφέρηται τῇ διφθόγγῳ, ἢ τῷ μακρῷ φωνήεντι, ἢ τῷ ρ, ἐπειδὴ καὶ τοῦτο ὡς φωνῆεν τοῖς παλαιοῖς λαμβάνεται, καὶ διὰ τοῦτο καὶ [g]δασύνεται· ὅταν ταῦτα ἔμπροσθεν εὕρηται διφθόγγου ἢ μακροῦ φωνήεντος, ἀντὶ κοινῆς συλλαβῆς ἡ δίφθογγος καὶ τὸ μακρὸν εὕρηται φωνῆεν.

[g] *δασύνεται*] Videsis Fischerum in Animadv. ad Welleri Grammat. Gr. T. I. p. 244, 245. et auctores ibi laudatos, viz. Anonymum *περὶ πνευμάτων* post Ammonium Valckenærii p. 114. Schol. Venet. ad Homer. Il. α'. 56. Porphyrium in Villoisoni Anecdotis p. 114. Villoisonum in Prolegom. ad Homer. p. 4. Anecdot. Gr. p. 121.

αἰὲν ἐφ' Ἕκτορι, ἢ ἐπιφερομένης, Ἀπόλλωνος ἑκάτοιο, ἢ προηγουμένης, ἔλπομαι ἐκτελέεσθαι ἵνα μὴ ῥέξωμεν ὧδε.—Πέμπτος τρόπος διὰ στιγμῆς, καὶ πόσιος, ὁ δ' ἔπειτα θεοῖς εὔχεται ἀνώγει—ὁμοίως καὶ τὸ, οὐ δὴ μάλ' ἴφθιμος, ἐπεὶ καὶ πολὺ φέρτερός ἐστιν. Ἕκτος δὲ τρόπος, ὁ διὰ τῶν ἀμεταβόλων λ μ ν ρ, ποσσὶ δ' ὑπὸ λιπαροῖσιν ἐδήσατο καλὰ πέδηλα—θυμὸν ἀπὸ μελέων—ἀλλ' ὕδατι νίζοντες—ἄλλοι δὲ ῥινοῖς, ἄλλοι δ' αὐτοῖσι βόεσσιν. Οἱ δ' ἄλλοι τέσσαρες τρόποι, τουτέστιν ζ η θ ι εἰσι διὰ τῶν δ' στοιχείων, ἢ διὰ τοῦ δ ἢ π· ἢ γ ἢ τ. οἵτινες διπλασιάζεσθαι πεφύκασιν—οὐδ' ἄρ' ἔτι δὴν—ὦ υἱὲ Πετεῶνος—Ἀρτέμιδί σε ἐΐσκω—βέλος ἐχέπευκες ἐπιφερομένου τοῦ σ, ἀλλὰ καὶ λήγοντα ἐν τῇ λος συλλαβῇ. τοῦ δὲ τ ἐπιφερομένου, μήτε σύ τόν γ' ἄρα δείδιθι—Διπλασιάζεται δὲ οὕτως, ἔδδεισ' ὁ δὲ γέρων καὶ ἐπείθετο μύθῳ. εἰωθότες ἔδμεναι ἄδδην. ὁππότε τις μετὰ πανσώλην ὁππότερος δὲ νικήσῃ κρείσσων γε γένηται. εὐλόγως δὲ ἡμεῖς τῇ μακρᾷ ἀντὶ βραχείας κεχρήμεθα ὡς περιεκτικῇ δύο βραχειῶν, οὐ μὴν δὲ τῇ βραχείᾳ ἀντὶ μακρᾶς ὡς οἱ ποιηταὶ &c. S.

ΚΕΦ. Β.

ΠΕΡΙ ΣΥΝΙΖΗΣΕΩΣ.

Συνίζησίς ἐστι σύλληψις δύο συλλαβῶν εἰς μίαν ἐν τῷ βαίνειν, ἢ δύο μακρῶν εἰς μίαν μακρὰν, ἢ δύο βραχειῶν εἰς μίαν μακρὰν, ἢ δύο βραχειῶν εἰς μίαν βραχεῖαν, ἢ βραχείας καὶ μακρᾶς εἰς μίαν βραχεῖαν, ἢ τῶν αὐτῶν εἰς μίαν μακρὰν, ἢ μακρᾶς καὶ βραχείας
2 *εἰς μίαν βραχεῖαν, ἢ τῶν αὐτῶν εἰς μίαν μακράν. Δύο μὲν μακρῶν εἰς μίαν μακρὰν, ὡς ἐν τῷ,*

ἢ οὐχ ἅλις ὅττι γυναῖκας ἀνάλκιδας ἠπεροπεύεις.

Ἐνταῦθα γὰρ καὶ τὸ η καὶ τὸ ου, ἀμφότερα μακρὰ ὄντα, εἰς μίαν
3 συλλαβὴν μακρὰν καταλογίζονται. Δύο δὲ βραχειῶν εἰς μίαν μακρὰν, ὡς ἐν τῷ, (Il. γ′. 237.)

Κάστορά θ' ἱππόδαμον καὶ πὺξ ἀγαθὸν Πολυδεύκεα.

τῆς κε καὶ α συλλαβῆς, καὶ ἀμφοτέρων βραχειῶν οὐσῶν, εἰς μίαν μακρὰν συναιρουμένων. Τοῦτο δέ τινες οὔ φασιν εἶναι συνί-
4 ζησιν, ἀλλὰ διάλυσιν τῆς τελευταίας τοῦ σπονδείου μακρᾶς. Ἢ τῶν αὐτῶν εἰς μίαν βραχεῖαν, ὡς ἐν τῷ,

ἀλλὰ τεὸν οὔποτε θυμὸν ἐνὶ στήθεσσιν ἔπειθεν.

Ἐνταῦθα γὰρ ἡ τε καὶ ον συλλαβὴ εἰς μίαν βραχεῖαν συνιζάνονται· τινὲς δὲ μᾶλλον τὴν ον καὶ ου εἰς μίαν μακρὰν συλλαμ-
5 βάνουσι. Βραχείας δὲ καὶ μακρᾶς εἰς μίαν μακρὰν, ὡς ἔχει τε ἡ ἄνω χρῆσις, καὶ ἐν τῷ, (Il. η′. 159.)

Ὑμέων οἵπερ ἔασι

τῆς με καὶ ων εἰς μίαν μακρὰν συναιρουμένης· καὶ τῶν αὐτῶν εἰς μίαν βραχεῖαν, ὡς ἐν τῷ, (Il. γ.′ 152.)

δενδρέῳ ἐφεζόμενοι·

6 τῆς ε καὶ ω εἰς μίαν βραχεῖαν. Μακρᾶς δὲ καὶ βραχείας εἰς μίαν μακρὰν, ὡς ἐν τῷ, (Il. ω′. 769.)

Δαέρων ἢ γαλόων.

τῆς δα καὶ ε εἰς μίαν μακράν. Ὅτι δὲ τὸ δα μακρόν ἐστι, δῆλόν ἐστιν ἐκ τοῦ, (Il. γ′. 180.)

Δαὴρ αὖτ' ἐμὸς ——

καὶ (Il. ξ΄. 156.)

αὐτοκασίγνητον καὶ δαέρα.

Ἢ τῶν αὐτῶν εἰς μίαν βραχεῖαν, ὡς ἐν τῷ,

δενδρέῳ ἐφεζόμενοι,

δύναται γὰρ καὶ οὕτω γενέσθαι συνίζησις τοῦ Ω καὶ Ε εἰς μίαν
βραχεῖαν. Ἐν τούτῳ δέ τινες τὸ Ω κοινὴν συλλαβὴν ποιοῦσι
7 πρότερον, ἵνα δύο βραχείας εἰς μίαν μακρὰν συναιρήσωσι. Δια-
φέρει δὲ συναλοιφὴ συνεκφωνήσεως, ἤγουν συνιζήσεως. Ἡ μὲν
γὰρ συναλοιφὴ ὡς γράφεται οὕτω καὶ ἐκφωνεῖται· ἡ δὲ συνίζησις
οὐχ ὡς γράφεται ἐκφωνεῖται, ἀλλ' ἐν τῷ βαίνειν τὰς δύο συλλα-
βὰς ὁμοῦ ὑπὲρ τῆς τοῦ μέτρου θεραπείας [g] συνεκφωνεῖ· διὸ καὶ
συνίζησις λέγεται· συνιζάνειν γὰρ λέγεται τὸ ἐκ τινὸς μείζονος
εἰς ἔλαττον συμπίπτειν. Εἴρηται δὲ ἐκ μεταφορᾶς τοῦ περὶ τοὺς
καθεζομένους συμβαίνοντος, ἐπειδὴ οὗτοι καθεσθέντες συστέλ-
λουσι τὸ μέγεθος αὐτῶν.

ΚΕΦ. Γ.

ΠΕΡΙ ΠΟΔΩΝ.

Πούς ἐστι ποιῶν καὶ ποσῶν συλλαβῶν σύνθεσις εἰς εὐπρεπὲς
σχῆμα· ποιῶν μὲν, ὅτι δεῖ τὰς μὲν μακρὰς εἶναι, τὰς δὲ βρα-
χείας· ποσῶν δὲ, ὅτι δεῖ δύο εἶναι, ἢ πλείους· εἰς εὐπρεπὲς δὲ
σχῆμα, ὡς ὅταν εἴπωμεν τὰς συλλαβὰς ἢ καθ' ἑαυτὰς συντίθε-
2 σθαι ἀλλήλαις, ἢ τῆς μακρᾶς λυομένης εἰς δύο βραχείας. Τινὲς
δὲ οὕτως ὡρίσαντο· πούς ἐστι τάξις συλλαβῶν ἄρσιν ἢ θέσιν
περιέχουσα. Οἱ δὲ οὕτως· πούς ἐστι μετρικὴ συλλαβῶν σχέσις ἀπὸ
δύο ἕως τεσσάρων ἢ πέντε, ἐν αἷς γνωρίζομεν τὸ τοῦ μέτρου εἶδός τε
3 καὶ μέγεθος. Ὕλη δὲ ποδῶν συλλαβαὶ ἐν ποσότητί τε καὶ ποιό-
τητι εὐπρεπῶς κινούμεναι· αἱ γὰρ δύο συλλαβαὶ, βραχεῖά τε καὶ
μακρὰ, ἀλλήλαις συμπλεκόμεναι τοὺς τετρασυλλάβους ἀποτε-
λοῦσι. Πᾶν γὰρ διφυὲς ἑτέρῳ [h] διφυεῖ συμπλεκόμενον τέσσαρα

[g] συνεκφωνεῖται] συνεκφωνεῖ B. 1. 2.

[h] διφυεῖ] Sic Turn. et Draco p. 133, 21. συμφυεῖ MSS.

14. Ὁ δ' Ἡλιόδωρος φησὶν ἐν τῇ εἰσαγωγῇ ὅτι καὶ τρεῖς εἰς μίαν συνεκφωνοῦνται συλλαβαί· ὡς τὸ διπενθημιμερὲς τοῦτο, οἱονεὶ τὸ δοκοῦν εἶναι ἐλεγεῖον, Ἀστερὶς οὔτε σ' ἐγὼ φιλέω, οὔτ' Ἀπελλῆς. οὐ γάρ ἐστιν ἐλεγεῖον,

σχήματα ἀποτελεῖ, ὡς ἐν τῷ περὶ ὀνομάτων εἴπομεν· καὶ ἡ ἀριθ-
μητικὴ δὲ δυὰς ἐπὶ τὴν δυάδα πολλαπλασιαζομένη τὸν δ' ποιεῖ.
4 Εἰσὶν οὖν οἱ δισύλλαβοι ἁπλοῖ πόδες τέσσαρες ἐκ τῆς τῶν δύο συλλα-
βῶν, τῆς μακρᾶς τε καὶ βραχείας, συμπλοκῆς ἀποτελούμενοι· μετ'
αὐτοὺς δέ εἰσιν οἱ τρισύλλαβοι, ἁπλοῖ καὶ αὐτοὶ ὄντες, εἰς ὀκτὼ δὲ
τοὺς πάντας ἀπαρτιζόμενοι. Καὶ ἁπλοῖ μέν εἰσι, ὅτι οὐκ ἐκ συν-
θέσεως τῶν δισυλλαβῶν γίνονται, ἀλλὰ συλλαβῶν προστιθεμένων
5 αὐτοῖς. Ἐπεὶ οὖν δύο εἰσὶν αἱ συλλαβαὶ, μακρὰ καὶ βραχεῖα,
προστιθέμεναι τοῖς δ' δισυλλάβοις, τοὺς ὀκτὼ τρισυλλάβους ποι-
οῦσι· δὶς γὰρ τὰ δ', ὀκτώ. Ἐκκειμένων γὰρ τῶν [i]τεσσάρων
δισυλλάβων, τοῦ τε πυρριχίου, τοῦ ἰάμβου, τοῦ τροχαίου, καὶ τοῦ
σπονδείου, ἑκατέρα τῶν δύο συλλαβῶν, τῆς μακρᾶς τε καὶ τῆς
6 βραχείας, ἑκάστῳ προσιοῦσα δύο πόδας ποιεῖ. Καὶ γοῦν ἡ μὲν
βραχεῖα τῷ πυρριχίῳ προσιοῦσα τὸν τρίβραχυν, ἤγουν τὸν χορεῖον,
ποιεῖ· ἡ δὲ μακρὰ τὸν δάκτυλον· τῷ δὲ ἰάμβῳ ἡ μὲν βραχεῖα τὸν
ἀνάπαιστον, ἡ δὲ μακρὰ τὸν ἀμφίμακρον· [k]τῷ δὲ τροχαίῳ ἡ μὲν
βραχεῖα τὸν ἀμφίβραχυν, ἡ δὲ μακρὰ τὸν παλιμβάκχειον· τῷ δὲ
σπονδείῳ ἡ μὲν βραχεῖα τὸν βακχεῖον, ἡ δὲ μακρὰ τὸν μολοσσόν.
7 Οἱ δὲ τετρασύλλαβοι ἐκ συνθέσεως τελείων τῶν τεσσάρων δισυλ-
λάβων γίνονται, διὸ καὶ ἑκκαίδεκα εἰσί· τετράκις γὰρ τὰ δ',
δεκαέξ. Καὶ γὰρ ὁ πυρρίχιος ἐφ' ἑαυτὸν συντιθέμενος τὸν προ-
κελευσματικὸν ποιεῖ· ἐπὶ τὸν ἴαμβον δὲ, τὸν τέταρτον παίωνα·

[i] γὰρ τῶν δ συλλαβῶν Fl. τῶν τεσσαρῶν MSS. τῶν δισυλλαβῶν Turn.

[k] Mancus erat locus in edd. emendavimus e MSS.

ἀλλὰ τὸ πρῶτον αὐτοῦ μέρος ἐστὶ δακτυλικὸν, τὸ δὲ δεύτερον ἰαμβικόν· δύο γὰρ ἰάμβους ἔχει καὶ συλλαβήν. τὸ οὖν φιλέω οὐ, ἀπὸ δύο βραχέων καὶ μιᾶς μακρᾶς. S.

p. 22, 12. Ἐκ τῶν συλλαβῶν] Ἐνταῦθα περὶ τῶν ποδῶν βούλεται διαλαμβάνειν ποῖοι καὶ πόσοι εἰσί· καὶ ἀναγκαῖόν ἐστιν ἡμᾶς πρότερον τοῦτο αὐτὸ γνῶναι, τί ἐστι πούς. Πους τοίνυν ἐστὶ σύνθεσις συλλαβῶν ἄρσιν ἢ θέσιν περιέχουσα. Καὶ ἄλλως· πούς ἐστι μετρικὴ συλλαβῶν θέσις ἀπὸ δύο ἕως ἕξ, ἐξ ὧν γνωρίζομεν τὸ τοῦ μέτρου εἶδός τε καὶ μέγεθος. Βάσις δέ ἐστι τὸ ἐκ δύο ποδῶν συνεστηκὸς, τοῦ μὲν ἄρσει τοῦ δὲ θέσει παραλαμβανομένου· ἢ οὕτως· βάσις ἐστὶν ἡ ἐκ ποδὸς καὶ καταλήξεως τουτέστι μιᾶς συλλαβῆς ποδὶ ἰσουμένης· γνωρίζεται δὲ ὁ μὲν πους ταῖς συλλαβαῖς, τὰ δὲ μέτρα τοῖς ποσὶν ἢ ταῖς βάσεσι. μέτρον δέ ἐστι ποδῶν ὡρισμένων ποιὰ σύνθεσις κατὰ τὴν φυσικὴν συμμετρίαν πῶς ὑπὸ τῶν τοῦ λόγου μερῶν ἀφωρισμένη. S.

ἐπὶ δὲ τὸν τροχαῖον, τὸν τρίτον παίωνα· ἐπὶ δὲ τὸν σπονδεῖον, τὸν ἰωνικὸν ἀπ' ἐλάσσονος. Ὁ δὲ ἴαμβος ἐπὶ μὲν τὸν πυρρίχιον, τὸν δεύτερον παίωνα· ἐπὶ δὲ τὸν τροχαῖον, τὸν ἀντίσπαστον· ἐφ' ἑαυτὸν δὲ, τὸν διίαμβον· ἐπὶ δὲ τὸν σπονδεῖον, τὸν πρῶτον ἐπίτριτον.

8 Ὁ δὲ τροχαῖος ἐπὶ μὲν τὸν πυρρίχιον, τὸν πρῶτον παίωνα ποιεῖ· ἐπὶ δὲ τὸν ἴαμβον, τὸν χορίαμβον· ἐφ' ἑαυτὸν δὲ, τὸν διτρόχαιον· ἐπὶ δὲ τὸν σπονδεῖον, τὸν δεύτερον ἐπίτριτον. Ὁ δὲ σπονδεῖος ἐπὶ μὲν τὸν πυρρίχιον, τὸν ἰωνικὸν ἀπὸ μείζονος· ἐπὶ δὲ τὸν ἴαμβον, τὸν τρίτον ἐπίτριτον· ἐπὶ δὲ τὸν τροχαῖον, τὸν τέταρτον ἐπίτριτον·

9 ἐφ' ἑαυτὸν δὲ, τὸν δισπόνδειον. Ὅτι δὲ ἕκαστος τούτων σύνθετός ἐστιν ἐκ δύο ποδῶν δισυλλαβῶν, δῆλον ἐκ τοῦ λέγεσθαι ἕκαστον αὐτῶν καὶ διποδίαν, ἢ καὶ συζυγίαν. Ποσοῦνται τοίνυν [l]οὗτοι, οἵ τε δισύλλαβοι τέσσαρες, οἱ τρισύλλαβοι ὀκτὼ, καὶ οἱ τετρασύλλαβοι ἑκκαίδεκα, εἰς εἴκοσι ὀκτώ. Καὶ μεχρὶ μὲν οὖν τούτων οἱ ἀκριβέστεροι τῶν μετρικῶν ἱστῶσι τοὺς πόδας· καὶ εἴ που δὲ εὑρεθῇ πεντασύλλαβος πούς, λυομένης, φασὶ, τῆς ἔν τινι [m]τετρασυλλάβῳ ποδὶ μιᾶς μακρᾶς εἰς δύο βραχείας, γίνεσθαι τοῦτον.

10 [n]Ἄλλοι δέ φασι, τοὺς τετρασυλλάβους προσλαμβάνοντας ἑκατέραν [o]τῶν συλλαβῶν, πεντασυλλάβους ἀπογεννᾶν τριάκοντα δύο, κατὰ τὴν ἀναλογίαν τῶν δισυλλάβων καὶ τρισυλλάβων. Ὥσπερ γάρ, [p]φασὶν, οἱ δισύλλαβοι τέσσαρες ὄντες τὰς δύο συλλαβὰς προσλαμβάνοντες τοὺς ὀκτὼ τρισυλλάβους ἐποίησαν, οὕτω καὶ οἱ ἑκκαίδεκα τετρασύλλαβοι τὰς τοιαύτας [q]ἑκατέρας προσλαμβάνοντες τοὺς λβ' πεντασυλλάβους ποιοῦσιν· οἷς ὀνόματα μὲν [r]οὐκ ἔθεντο ἰδίως ἑκάστοις, ἀλλ' ἀπὸ τῆς τῶν προειρημένων μετὰ συλλαβῆς συνθέσεως ἕκαστον δηλοῦσι, καὶ τὰς διαιρέσεις αὐτῶν διπλᾶς ποιοῦνται, [s]τρισυλλάβους φάσκοντες εἶναι μετὰ δισυλ-

[l] οὕτως Turn.

[m] τετρασυλλάβου ποδίας Fl. B 1. Draco p. 131, 19. τετρασυλλάβου διποδίας B 2.

[n] Ἄλλοι δέ φασιν] Draco p. 131, 20. ἡγοῦμαι δὲ μᾶλλον.

[o] τῶν συλλαβῶν] Sic etiam Draco. τῶν δύο συλλαβῶν bene Pauwius. Vid. inf. s. 12.

[p] φασὶν om. Draco.

[q] ἑκατέραν Fl. MSS. Draco.

[r] καὶ οἱ παλαιοὶ οὐκ ἔθεντο Draco.

[s] Sic emendavimus Pauwium fere secuti. Fl. et MSS. δισυλλ. φ. ε. μ. τρισ. ἢ τρισ. μ. τρισ. Draco δισυλλ. φ. ε. μετὰ τρισ. ἢ τρισ. μ. τετρασυλλάβων.

λάβων, ἢ δισυλλάβους μετὰ τρισυλλάβων. Αὐτίκα γὰρ, (Eurip. Phœn. 2.)

ἥλιε θοαῖς ἵπποισι

δύνανται διαιρεῖν καὶ ἰαμβικῶς καὶ τροχαϊκῶς. Ἰαμβικῶς μὲν, τὸν μὲν πρῶτον πόδα ποιοῦντες [t]τρισύλλαβον, ἤγουν δάκτυλον, τὸν δὲ δεύτερον ἴαμβον· τροχαϊκῶς δὲ, τὸν μὲν πρῶτον πόδα ποιοῦντες δισύλλαβον, τροχαῖον· τὸν δὲ δεύτερον, ἀναπαῖστον, ἰσο-
11 δυναμοῦντα τῷ σπονδείῳ. [u]Πάλιν δὲ τούτοις τοῖς λβʹ πεντασυλλάβοις ἑκατέραν τῶν δύο συλλαβῶν ([x]προστιθέντες) ἑξασυλλάβους ποιοῦσι ξδʹ. καὶ εἰσὶν ὁμοῦ οἱ πάντες δʹ, ηʹ, ιςʹ, λβʹ, ξδʹ, συγκροτούμενοι εἰς ρκδʹ. Ἄλλοι δὲ τοὺς ιβʹ ἁπλοῦς πόδας, ἤγουν τοὺς τέσσαρας δισυλλάβους, καὶ τοὺς ὀκτὼ τρισυλλάβους ἐφʼ ἑαυτοὺς [y]πολυπλασιάζοντες, ἤγουν δωδεκάκις δώδεκα ποιοῦντες,
12 ρμδʹ ποιοῦσι. Καὶ πῶς ἂν λυθείη ἡ δοκοῦσα ἐν τούτοις διαφωνία; ὅτι κατὰ μὲν τὴν [z]προτερὰν μέθοδον, καθʼ ἣν οἱ τετρασύλλαβοι ἐκ προσλήψεως ἑκατέρας τῶν δύο συλλαβῶν τοὺς πεντασυλλάβους ποιοῦσι, λβʹ εἰσὶν οἱ πεντασύλλαβοι· κατὰ δὲ τὴν δευτέραν μέθοδον τὴν ἐκ δισυλλάβων καὶ τρισυλλάβων συντιθεῖσαν αὐτοὺς, ἢ ἐκ τρισυλλάβων καὶ δισυλλάβων, ξδʹ γίνονται. Πολυπλασια-

[t] Sic cum Pauw. Vulg. δισ.

[u] Πάλιν] Draco p. 132, 4. Πάλιν οἱ τριάκοντα δύο πεντασύλλαβοι τοὺς τέσσαρας πρὸς τοῖς ἑξήκοντα ποιοῦσι, καὶ οἱ πάντες ὁμοῦ εἰσι, πρῶτον τέσσαρες, εἶτα ὀκτὼ, ἔπειτα ἑκκαίδεκα, μετὰ ταῦτα τριάκοντα καὶ δύο, πρὸς τοῖς ἑξήκοντα καὶ τέσσαρες, ἅμα συγκροτούμενοι εἰκοσιτέσσαρες πρὸς τοῖς ἑκατόν. Ἄλλοι δὲ ἄλλως ἀπογεννῶσι· πολλαπλασιάζοντες γὰρ τοὺς δώδεκα ἁπλοῦς πόδας, ἤγουν τοὺς τέσσαρας δισυλλάβους, καὶ τοὺς ὀκτὼ τρισυλλάβους ἐφʼ ἑαυτοὺς ποιοῦσιν ρμδʹ, δωδεκάκις γὰρ δώδεκα ρμδʹ. Καὶ πῶς ἂν λυθείη ἡ δοκοῦσα ἐν τούτοις διαφωνία; ὅτι κατὰ μὲν τὴν πρώτην μέθοδον, καθʼ ἣν οἱ τετρασύλλαβοι ἐκ προσλήψεως ἑκατέρας τῶν δύο συλλαβῶν πεντασυλλάβους ποιοῦσι λβʹ, κατὰ δὲ τὴν δευτέραν μέθοδον τὴν ἐκ δισυλλάβων συντεθεῖσαν αὐτοὺς, ἢ ἐκ τρισυλλάβων καὶ δισυλλάβων, ξδʹ γίνονται. Πολλαπλασιαζόμενοι γὰρ οἱ δισύλλαβοι ἐπὶ τοὺς ὀκτὼ τρισυλλάβους λβʹ. Καὶ πάλιν οἱ ὀκτὼ τρισύλλαβοι τοὺς τέσσαρας ἄλλους λβʹ, καὶ ὁμοῦ ξδʹ. ιςʹ οὖν τετρασύλλαβοι, καὶ ξδʹ πεντασύλλαβοι ρμδʹ, ποιοῦσι τοὺς συνθέτους τῶν ἁπλῶν δῆλον, τουτέστι τῶν τεσσάρων δισυλλάβων καὶ τῶν ὀκτὼ τρισυλλάβων μὴ συναριθμουμένων αὐτοῖς. Εἰ γὰρ συναριθμηθεῖεν καὶ οὗτοι αὐτοῖς, ἑκατὸν καὶ πεντήκοντα ἔσονται οἱ πάντες· εὑρήσεις δὲ τῶν εἰκοσιτεσσάρων καὶ ἑκατὸν τὰ ὀνόματα, καὶ τὰς διαιρέσεις αὐτῶν ἐπιμελῶς γεγραμμένα ἐν τοῖς διαγράμμασι τοῦ Φιλοξένου.

[x] Vocem supplevit Pauwius.

[y] πολλαπλασιάζοντες Turn.

[z] πρώτην] προτέραν B. 1. 2. αʹ Fl.

ζόμενοι γὰρ οἱ δισύλλαβοι ἐπὶ τοὺς ὀκτὼ τρισυλλάβους, λβʹ, καὶ
πάλιν οἱ ὀκτὼ τρισύλλαβοι ἐπὶ τοὺς τέσσαρας δισυλλάβους, ἄλ-
λους λβʹ, καὶ ὁμοῦ ξδʹ. ιςʹ οὖν τετρασύλλαβοι, καὶ ξδʹ πεντασύλ-
λαβοι ([*]καὶ ξδʹ ἑξασύλλαβοι) ρμδʹ ποιοῦσι τοὺς συνθέτους τῶν
13 ἁπλῶν. Δῆλον τοῦτ᾽ ἔστι τῶν τεσσάρων δισυλλάβων καὶ τῶν
ὀκτὼ τρισυλλάβων μὴ συναριθμουμένων αὐτοῖς· εἰ γὰρ συναριθμη-
14 θεῖεν καὶ οὗτοι αὐτοῖς, ρνςʹ ἔσονται οἱ πάντες. Τὸ δὲ τὰ τοιαῦτα
τῶν συλλαβῶν ὀνόματα πόδας ὀνομάζεσθαι μεταφορικῶς εἴληπται
ἀπὸ τῶν [a]ἐν τοῖς ζῴοις ποδῶν, δι᾽ ὧν ποιοῦνται τὴν κίνησιν. Ὥσ-
περ γὰρ οἱ τῶν ζῴων πόδες ἀλλήλοις ἀντικείμενοι τὴν πορείαν
ἐργάζονται, οὕτω καὶ οἱ μετρικοὶ πόδες ἀλλήλοις ἀντιταττόμενοι
τὴν ὁδὸν τοῦ λόγου σχηματίζουσι, καὶ τὴν αὐτοῦ κίνησιν εὔρυθμόν
15 τε καὶ ἐναρμόνιον [b]ἀποτελοῦσι. Λέγεται δὲ τὸ τοῦ ποδὸς ὄνομα
καὶ ἐπὶ πολλῶν ἄλλων. Λέγομεν γὰρ τραπέζης πόδας, καὶ ἐπὶ
πηδαλίου νηός, καὶ τοῦ ἀρμένου δὲ ὀξύτερον (?) μέρος τὸ πρὸς τῇ νηῒ
πούς κέκληται. Ἕκαστος μέντοι τῶν τοιούτων ποδῶν ἰδίου τετύ-
χηκεν ὀνόματος, ἢ ἀπὸ ῥυθμῶν, ἢ [c]ἐθνῶν, ἢ συνθέσεων τῶν ἐξ ἀλ-
λήλων, ἢ ἀριθμῶν, περὶ ὧν ἐφ᾽ ἑκάστῳ δηλώσομεν.
16 Ἔστιν οὖν πρῶτος ὁ [d]ΠΥΡΡΊΧΙΟΣ ἐκ [e]δύο βραχειῶν συγκεί-
μενος. Ἐκλήθη δὲ οὕτως, ὅτι βραχύτατός ἐστι, καὶ ὀξεῖαν ποιεῖ-

[*] Supplevimus secuti Pauwium.

[a] ἐν τοῖς ζῴοις ποδῶν] Draco p. 133, 4. Λέγονται δὲ πόδες ἐκ τῶν τοῦ λογικοῦ ζῴου ποδῶν, τοῦ ἀνθρώπου δηλαδή, τοῦ ὀνόματος τούτου τυχόντες. Ὥσπερ καὶ δι᾽ ἐκείνων τὸ ὅλον σῶμα ἐπιστηρίζεται, οὕτω καὶ διὰ τούτων ἡ τοιάδε συνθήκη τοῦ ὅλου ἢ λόγου ἢ στίχου συνίσταται. Τῶν τοῦ ἀνθρώπου δὲ ποδῶν ἔφημεν, καὶ οὐκ ἄλλου του τῶν ζῴων, ἐπεὶ ἔδει τοὺς λογικοὺς πόδας λογικοῦ ζῴου ἐξομοιωθῆναι ποσίν. Ἄρχονται δὲ ἀπὸ δισυλλαβίας οἱ πόδες, ἢ ὅτι οὐδενὶ ποδὶ δέδωκεν ἡ φύσις χρῆσθαι. Ἀλλὰ τῷ τῶν ἄλλων κρείττονι, τῷ ἀνθρώπῳ φημί, τοὺς δύο ἀπένειμεν, ἢ καὶ διὰ τὸ ποιητικὴν ἑτερότητος εἶναι τὴν δυάδα, καθά φασιν ἀριθμητικοί, μᾶλλον δ᾽ ἑτερότητι προσήκει ἁρμονίᾳ καὶ μέτρῳ προσήκει μιγνῦσι τὰ διαφέροντα προσφυῶς, ἢ ταυτότης τῇ μονάδι περιγραφομένη.

[b] Vocem e MSS. restituimus.

[c] ἐθνῶν conj. Pauw, pro ἐθῶν ex altero schol. ἀπὸ ῥ. ἢ σ. ἢ πόλεων χρησαμένων. Vid. p. 22. Idem mox ἢ ἀριθμῶν delet.

[d] Πυρρίχιος γοῦν ἐστὶν ὃν τινες καὶ προκελευσματικὸν καλοῦσιν, ὃ καὶ παρίαμβος καὶ ἡγεμών. Λέγεται δὲ πυρρίχιος ὅτι βραχύτατος ὢν καὶ ὀξύτατος ἐφήρμοσε μάλιστα τῇ συντόμῳ κινήσει τῆς ὀρχήσεως, ἣν πυρρίχην ὠνόμαζον· ἢ διὰ τὸ ἀπὸ Πύρρου τοῦ υἱοῦ Ἀχιλλέως εὑρεθῆναι τόν τε τοῦ ποδὸς καὶ τοῦ μέλους τῆς ὀρχήσεως ῥυθμόν, ἢ διὰ τὸ ὑπὸ Ἀχιλλέως παρὰ τῆς τοῦ Πατρόκλου πυρρᾶ [ἐπὶ τῇ τοῦ Πατρόκλου πυρᾷ Schol. Pind.

ται τὴν κίνησιν τῶν χρόνων, ὥσπερ καὶ ἡ καλουμένη πυρρίχη, ἐνόπλιος ὄρχησις οὖσα. Ἄλλοι δὲ ἀπὸ τοῦ Πύρρου παρωνομάσθαι φασί· πρώτῳ γὰρ [f]τούτῳ ἐκ τοῦ Δουρίου ἵππου πηδήσαντι ἐπινίκιον ὕμνον συνέθεντο τοιοῦτον ἔχοντα μέτρον. Καλεῖται δὲ παρά τισι καὶ [g]παρίαμβος, ἐπεὶ παρὰ τὰ τέλη τῶν ἰαμβείων μέτρων εὑρίσκεται· ἢ ὅτι πυρρίχιος καὶ ἴαμβος παρά τι ὅμοιοί εἰσι, περὶ τὴν ἐσχάτην συλλαβὴν [h]διαλλάσσοντες, ἥτις ἐστὶν ἀδιάφορος
17 ἐπὶ παντὸς μέτρου. Ἄλλοι δὲ καὶ Ἡγεμόνα φασὶν αὐτὸν, ἐπεὶ ἐξ αὐτοῦ οἱ ἄλλοι πόδες· οὗτος δὲ κατὰ πόδα μὲν οὐ βαίνεται, διὰ τὸ [i]κατάπυκνον γίνεσθαι τὴν βάσιν, καὶ συγχεῖσθαι τὴν αἴσθησιν· κατὰ διποδίαν δὲ συντιθέμενος, καὶ τὸν προκελευσματικὸν ποιῶν, τὰ καλούμενα προκελευσματικὰ ἢ [k]πυρριχιακὰ μέτρα ποιεῖ, ὧν παραδείγματα,

> ἴθι μόλε ταχύποδος [l]ἐπίδεσμα ἐλάφου πτεροφόρον χερσὸν καθημένα,

ὁ προκελευσματικός.

18 Δεύτερος ἼΑΜΒΟΣ, ἐκ βραχείας καὶ μακρᾶς συγκείμενος. Ἐκλήθη δὲ οὕτως ἢ ἀπὸ Ἰάμβης τῆς Κελεοῦ θεραπαίνης, ὅτι ἡ Δημήτηρ περίλυπος οὖσα ἐπὶ τῇ ἁρπαγῇ τῆς ἑαυτῆς θυγατρὸς,

Pyth. II. 127]. ἢ διὰ τὴν σφόδραν κίνησιν καὶ πυρώδη. Παρίαμβος δὲ αὐτὸς καλεῖται, διὰ τὸ παρ' ἕνα χρόνον ἴσος εἶναι τῷ ἰάμβῳ· ὁ μὲν γὰρ δίχρονός ἐστιν, ὁ δ' ἴαμβος τρίχρονος. Προκελευσματικὸς δὲ ἐκλήθη καὶ ἡγεμὼν, διὰ τὸ βραχύτατος εἶναι πλέον παντὸς ποδὸς, καὶ πρὸ πάντων εὑρῆσθαι. ἀκολουθεῖ δ' αὐτὸ(ῷ) πάντα τὰ τῶν ποδῶν σχήματα καὶ μεγέθη. S. Draco p. 127, 16. δοκεῖ οὖν οὗτος ἀπὸ τῆς ἐνόπλου ὀρχήσεως παρωνομάσθαι. ταύτην δὲ τὴν ὄρχησιν Πύρριχός τις Λάκων ἐξεῦρεν ἐν Λακεδαίμονι.

[e] δύο abest Fl. MSS. De saltatione Pyrrhica vide Athenæum XIV. p. 629, 630. Eustath. ad Il. ν'. 957, 46=938, 8. Etymol. M. p. 634, antep. *Mémoires de Littérature* T. I. p. 119. *Histoire de l'Académie des Inscriptions* T. XXXV. p. 262. Mox βραχύτατον vulg.

[f] πρ. γ. τῷ Πύρρῳ B 2.

[g] παρίαμβος] *Pariambus ideo* (dictus) *quod minus habeat unum tempus ab iambo: παρὰ enim Græci minus dicunt*. Marius Victorinus p. 2486.

[h] διαλλάσσονες Fl. Turn. διαλλάσσοντες B. 1. 2.

[i] κατάπυκτον — συγκεῖσθαι Fl. MSS.

[k] πυρριακὰ Fl. MSS. Exemplum quod sequitur satis probabiliter expedire nequeo. Pauwius, cui adstipulatur Toupius Em. III. 426. corrigit ἐπὶ δέσμα, sed in ceteris nihil juvat. Santenius ad Terent. Maur. p. 113. ἴθι, μόλε, ταχύποδος ἐπὶ δέμνι' ἐλάφου, | πτεροφόρον ἐπὶ χέρα καθέμενε. Bergk. p. 1068. n. 116. dedit ἐπὶ δέμας ἐλάφου post Keilium Anal. 4.

[l] ἐπὶ δεσμὰ ἐλάφου πτερόφορον χερσὸν καθομ' S.

καὶ πλανωμένη παρεξενώθη τινὶ ὀνόματι Κελεῷ, καὶ τῇ αὐτοῦ γαμετῇ [m] Μετανείρῃ· καὶ τούτου ἡ θεράπαινα, ἡ καὶ Ἰάμβη καλουμένη, ὡς ἔφαμεν, παρεμύθησατο τὴν Δήμητρα ὀρχησαμένη, καὶ ᾄσματα ἐν τοιούτῳ ῥυθμῷ προενεγκοῦσα· ἢ ἀπὸ Ἰάμβης τινὸς κόρης αἰσχρῶς ὑβρισθείσης, καὶ διὰ τοῦτο ἀγχόνῃ χρησαμένης· ἢ ἀπὸ γραός τινος Ἰάμβης καλουμένης, ᾗ πλυνούσῃ συντυχὼν ὁ Ἱππώναξ, καὶ ἀψάμενος τῆς σκάφης, ἐφ' ἧς ἔπλυνεν ἡ γραῦς τὰ ἔρια, ἤκουσε λεγούσης,

ἄνθρωπ' ἄπελθε, τὴν σκάφην [n] ἀνατρέπεις.

ἢ ὅτι τὸ λοιδορεῖν ἰαμβίζειν ἐλέγετο, ἀπὸ τοῦ [o] ἰὸν βάζειν, τοῦτ' ἔστι λόγους μεστοὺς πικρίας λέγειν· ἔστι δὲ τὸ μέτρον λοιδορικόν.

19 Τρίτος ὁ [p] ΤΡΟΧΑΪΟΣ, ἐκ μακρᾶς καὶ βραχείας, οὕτω λεγό-

[m] Edd. et MSS. male τῇ αὐτοῦ γαμετῇ Νήρι. Edidimus secuti Heinsium ad Ovid. Fast. IV. 539. qui Meursium compilavit Athen. Att. III. 1. docente Ruhnkenio ad Homeridæ H. in Cer. 161. Scholiastes Nicandri a Ruhnkenio laudatus sic se habet: Ἰστέον ὅτι τῆς κόρης, ἤγουν τῆς Περσεφόνης ἁρπαγείσης ὑπὸ τοῦ Πλούτωνος, ἡ μήτηρ αὐτῆς ἡ Δηὼ περιήρχετο νῆστις ζητοῦσα αὐτήν. Ὑπεδέχθη δὲ ἐν τοῖς οἴκοις τοῦ Ἱπποθόωντος, ὃς ἦν υἱὸς τοῦ Ποσειδῶνος ἐξ Ἀλόπης τῆς Κερκύονος ὑπὸ τῆς γυναικὸς αὐτοῦ Μετανείρας· ἥ τις Μετάνειρα παρέθηκεν αὐτῇ τράπεζαν, καὶ ἐκέρασεν αὐτῇ οἶνον ἐπὶ τῇ θλίψει. Ἡ δὲ θεὸς οὐκ ἐδέξατο, λέγουσα μὴ θεμιτὸν εἶναι πιεῖν αὐτὴν οἶνον ἐπὶ τῇ θλίψει τῆς θυγατρὸς, ἀλφίτων δὲ αὐτὴν κυκεῶνα ἐκέλευσε κατασκευάσαι, ὃν δεξαμένη, ἔπιεν. Ἰάμβη δέ τις δούλη τῆς Μετανείρας, ῥαθυμοῦσαν τὴν θεὸν ὁρῶσα, γελοιώδεις λόγους καὶ σκώμματά τινα πρὸς τὸ γελάσαι τὴν θεὸν ἔλεγεν. Ἦσαν δὲ τὰ ῥηθέντα ὑπ' αὐτῆς ἰαμβικῷ μέτρῳ ῥυθμισθέντα, ὅπερ αὐτῇ πρῶτον εἶπεν. Ἐξ ἧς καὶ τὴν προσηγορίαν ἔλαβον ἴαμβοι λέγεσθαι. Adde Eustathium ad Od. λ'. p. 1684=435. quem infra dabimus ad p. 182.

[n] ἀνατρέπεις] ἀνατρέψεις Tricha p. 9.

[o] ἰὸν βάζειν] Sic emendavit Tyrwhittus pro vulg. ἰβάζειν. Etymologus M. p. 463, 23. Ἰάμβη. Τινὲς ὅτι Ἰάμβη Ἠχοῦς καὶ Πανὸς θυγάτηρ (sic Schol. Nicandri loc. supra cit.) τὴν Δημήτραν δὲ λυπουμένην παίζουσα καὶ ἀχρηστολογοῦσα, καὶ σχήματα ἄχρηστα ποιοῦσα, ἐποίησε γελάσαι· καὶ ἰαμβεῖον εἴρηται, ἀπὸ τοῦ ἰαμβίζειν τὸ ὑβρίζειν, ἀπὸ τοῦ ἰὸν βάζειν, ἢ ὡς βέλη βάλλειν τὰ λεγόμενα· ἢ ἀπὸ τῆς εὑρούσης γυναικὸς βάκχης τινὸς, Ἰάμβης καλουμένης· ἢ ἀπὸ τοῦ ἴαν βάζειν· ἡ γὰρ κοινὴ τῶν ἀνθρώπων φωνὴ ἴα καλεῖται. Etiam S. ἰὸν βάζειν, qui addit, καὶ γὰρ Καλλίμαχος, περὶ Ἀρχιλόχου λέγων, ἐν τῷ γραφείῳ φησὶν, εἵλκυσε δὲ δρίμεντε χόλον [εὔρινόν τε χόλον ?] κυνὸς, ὀξύ τε κέντ[ρ]ον σφηκὸς ἐπ' ἀμφοτέρων ἰὸν ἔχει στομάτων. λοιδορητικὸν γὰρ τὸ μέτρον. καὶ ἰαμβίζειν τὸ λοιδορεῖν. Tricha p. 5. inter alia παρὰ τὸ ἰὸν βάζειν.

[p] Ὁ δὲ τροχαῖος ὅτι χαλὸν ἔχει τὸν ῥυθμόν. καί γε οὖν Ἀρχίλοχος

μενος ἐκ μεταφορᾶς τῶν τρεχόντων, οἵ τινες ἐν τῷ προϊέναι ἀπὸ μακροτέρας ἀρχόμενοι ὁδοῦ κατὰ μικρὸν βραχύνουσιν αὐτήν.

20 Τέταρτος ὁ [q] ΣΠΟΝΔΕΙ͂ΟΣ, ἐκ δύο μακρῶν συγκείμενος. [r] Ἐκλήθη δὲ οὕτως, ὅτι ἐν ταῖς σπονδαῖς, ἃς ἐποιοῦντο πρὸς τοὺς θεοὺς, τοιούτῳ μέτρῳ ἐχρῶντο, [s] πολυχρονιωτέραν ἔσεσθαι τὴν ζωὴν αὐτοῖς καὶ τὰ ἄλλα τῶν ἀγαθῶν εὐχόμενοι.

21 Τῶν δὲ τρισυλλάβων πρῶτος μὲν ὁ [t] ΧΟΡΕΙ͂ΟΣ, ὁ καὶ ΤΡΙΒΡΑΧΥ͂Σ, ἐκ τριῶν βραχειῶν. Ἐκλήθη δὲ χορεῖος, ὅτι οἱ ὑπὸ τῶν χορευόντων ᾀδόμενοι ἐν ταῖς χορείαις ὕμνοι ὡς ἐπὶ τὸ πλεῖστον ἐκ τοιούτων συνίσταντο μέτρων· ὁ καὶ τροχαῖος καὶ βραχυσύλλαβος.

22 Δεύτερος ὁ ΜΟΛΟΤΤῸΣ, ὁ τούτῳ ἀντικείμενος, ἐκ τριῶν μακρῶν. Ἐκλήθη δὲ ἀπὸ Μολοσσοῦ τοῦ υἱοῦ Πύρρου καὶ Ἀνδρομάχης ᾠδὰς ἐν τοιούτῳ μέτρῳ εἰπόντος [u] ἐν τῷ ἱερῷ Δωδώνης· ὁ [v] καὶ τρίμακρος· [x] ἢ διὰ τὸ μέγιστος εἶναι πάντων μολοσσὸς κέκληται·
23 [y] τοὺς γὰρ μηκίστους οἱ παλαιοὶ μολοσσοὺς ἐκάλουν. Τρίτος

ἐπὶ τῶν θεσμῶν ὑποθέσεων αὐτῷ κέχρηται, ὡς ἐν τῷ **ἔρξῃ πῇ δῆτ' ἄνολβος ἀθροΐζεται στρατός.** καὶ Εὐριπίδης, [Or. 729.] **Θᾶσσον ἢ μ' ἐχρῆν προβαίνων ἱκόμην δι' ἄστεος.** S.

q Ὁ σπονδεῖος δὲ ἀπὸ τοῦ ἐπαυλουμένου σπονδαῖς ῥυθμοῦ, οἷον, **σπένδομεν** (σπένδωμεν) **ταῖς μνάμαις ποσὶ** (Μνάμας παισὶν ?) **μούσαις καὶ τῷ μουσάρχῳ λητοῦς υἱεῖ.** ἢ ὅτι μακρότατός ἐστι τῶν ὁμογενῶν, εἰς μακροὺς δὲ χρόνους εὐχόμεθα σώζεσθαι θύοντες. S.

r Λέγεται δ' οὕτως διὰ τὸ μάλιστα παραλαμβάνεσθαι εἰς τὰς ἱερουργίας καὶ σπονδοποιίας τῶν θεῶν, ἀφ' οὗ καὶ σπονδεῖον ἔτι νῦν μέλος προσαυλεῖς (sic) λέγουσι τοῖς ἱεροῖς. S. Draco p. 127. παρωνόμασται δὲ οὕτως διὰ τὸ ἐν ταῖς σπονδαῖς τοιούτοις μέτροις κεχρῆσθαι τοὺς παλαιοὺς, μακροχρονίους ἔσεσθαι σημαίνοντας ταύτας.

s πολυχρονίαν B 2.

t Χόρειος ὅτι πρὸς τὰ χοριακὰ μέλη πολλάκις λαμβάνεται. τρίβραχυς δὲ, διὰ τὸ ἐκ τριῶν βραχέων συγκεῖσθαι ἐν τρισυλλάβοις, βραχυσύλλαβος δὲ ὡς βραχείας ἔχων τὰς πάσας συλλαβάς. τροχαῖος δὲ, ἐπειδὴ ὁ Σοφοκλῆς ἐν τῷ Θαμύριδι φησὶ **πρόποδα μέλεα τὰ δ' ὅσα κλύομεν τρόχιμα βάσιμα χέρεσι πόδεσι.** S.

u ὡς ἐν τῷ l. Δ. B 1. 2.

v Sic B 2. τριμακρὸς δὲ Fl. Turn.

x καλεῖται δὲ μολοσσὸς διὰ τὸ μέγιστος εἶναι πάντων τῶν ἁπλῶν ποδῶν καὶ μήκιστος. τοὺς δὲ μηκίστους τὸ παλαιὸν μολοσσοὺς ἐκάλουν, ὡς Σοφοκλῆς· **μολοσσῆσι χερσὶν ἐκτείνων πέλας,** ἀντὶ τοῦ μεγάλαις. οἱ δὲ διὰ τὸ ὑπὸ Μολοσσῶν εὑρῆσθαι πρῶτον τὸ εἶδος τῆς ῥυθμοποιίας ταύτης. καλεῖται δὲ ἵππειος πάλιν, διὰ τὸ τελεῖον εἶναι τὸ ζῶον. S. Draco p. 128, 14. ὠνόμασται δὲ οὕτως ἀπὸ τοῦ ἐν Μολοσσοῖς μαντείῳ τοῦ Ἀπόλλωνος ὄντι τοιαῦτα μέλη ᾄδεσθαι, ἢ ἀπὸ τοῦ μολεῖν ἐν αὐτῷ τὴν ὄσσαν, τουτέστι ἰσχυροτέραν γίνεσθαι τὴν φωνήν· καὶ γὰρ ἐν τοῖς μακροῖς πλέον ἐξέτεινον τὴν φωνήν.

y ὅτι τὸ παλαιὸν τοὺς μ. ἐ. B 2. τὸ παλαιὸν B 1.

ὁ [z] ΔΑΚΤΥΛΟΣ, ἐκ μακρᾶς καὶ δύο βραχειῶν, οὕτω κεκλημένος ἀπὸ
μεταφορᾶς τῶν ἁρμογῶν τῶν τῆς χειρὸς δακτύλων· ἀπὸ γὰρ μεί-
ζονος ἁρμογῆς ἐπὶ τὰς δύο ἐλάττους προΐασιν· ἢ ἀπὸ τῶν δακτύλων
οὓς ἐπιλαβομένη τῆς γῆς ἀνῆκεν ἡ Ῥέα, οὓς καὶ Κουρῆτας ἐκά-
λεσαν, διὰ τὸ περὶ τὸν Δία κοῦρον ὄντα εἰλεῖσθαι· οἳ δέκα ὄντες,
καὶ τούτῳ τῷ μέλει ᾄδοντες καὶ ὀρχούμενοι, [a] τὸν Κρόνον ἠπάτων.
Καλοῦσι δὲ τοῦτον καὶ ἡρῷον, διὰ τὸ δι' αὐτοῦ γενεὰς ἡρώων καὶ
24 πράξεις καταλέγειν. Τέταρτος [b] ΑΝΑΠΑΙΣΤΟΣ, ὁ τούτῳ ἀντικεί-
μενος, ἐκ δύο βραχειῶν καὶ μακρᾶς, οὗ χάριν ἀνάπαιστος κέκλη-
ται, οἱονεὶ ἀναπεποδισμένος, τουτέστιν ἀντίστροφος [c] δακτύλῳ, ὁ
25 καὶ ἀντιδάκτυλος. Πέμπτος ὁ ΑΜΦΙΒΡΑΧΥΣ, ἐκ βραχείας καὶ
μακρᾶς καὶ βραχείας, οὕτω κεκλημένος διὰ τὸ ἑκατέρωθεν τῆς
[d] μακρᾶς ἔχειν τὰς βραχείας· ὁ καὶ ὑπερθετικὸς, ὅτι ὑπερτιθε-
26 μένην ἔχει τὴν βραχεῖαν. Ἕκτος ὁ ΑΜΦΙΜΑΚΡΟΣ, τούτῳ ἀντι-
κείμενος, ἐκ μακρᾶς καὶ βραχείας καὶ μακρᾶς, διὰ τὸ ἑκατέρωθεν
τῆς βραχείας ἔχειν τὰς μακρὰς, ὁ καὶ ΚΡΗΤΙΚΟΣ καὶ [e] παιωνικός·
τὸ μὲν ὅτι ὑπὸ Κρήτων εὑρεθῆναι δοκεῖ· τὸ δὲ, ὅτι πρὸς τὰ παιω-
27 νικὰ καλούμενα μέτρα ἥρμοσται. Ἕβδομος ὁ [f] ΒΑΚΧΕΙΟΣ, ἐκ

[z] Δάκτυλος ὁ ἀπὸ Ἰδαίων Δακτύλων, οἳ τὸν μὲν ἀριθμὸν ἦσαν δέκα, παραστάται δὲ τυγχάνοντες τῆς Ῥέας καὶ μουσικώτατοι ὑπάρχοντες διὰ τῆς τῶν ὀργάνων χρήσεως ὕμνουν τὸν Διά. καὶ ἄλλως· δάκτυλος ἀπὸ τῆς ἐν ταῖς χορείαις γινομένης δακτύλων κινήσεως etc. S.

[a] τὸν Κρόνον ἠπάτων] ἐψεύδοντο Κρόνον. ἢ ὅτι οἱ μουσικοὶ τὸν μὲν ἐν διπλασίονι λόγον ἴαμβον καλοῦσιν, ὅταν ἡ ἄρσις τῆς θέσεως διπλασίων ᾖ, δάκτυλον δὲ τὸν ἐν ἴσῳ λόγῳ. διὸ καὶ οἱ μετρικοὶ τὸν πόδα τοῦτον οὕτως ἐκάλεσαν· ἡ γὰρ μακρὰ ταῖς δύο βραχείαις ἰσόρροπος· ὥστε καὶ τὸν ἀνάπαιστον ὡς πρός γε τὸ γένος καλῶν δάκτυλον οὐκ ἂν ἁμάρτοις, τὸν δὲ ἀμφίβραχυν οὐδαμῶς· οὐ γὰρ ἴση αὐτοῦ ἡ ἄρσις τῇ θέσει. καὶ οὐ δύναται αὐτοῦ ἡ σύνθεσις εἰς ἴσα μερισθῆναι· ἢ γὰρ μονάς ἐστι πρὸς τριάδα, ἢ τοὐναντίον· διὸ οὐδὲ μέτρον ποιεῖ καθ' ἑαυτόν. παίωνα δὲ τὸν ἐν ἡμιολίῳ λόγῳ· ὅς ἐστιν ἔχων αὐτὸν καὶ αὐτοῦ τὸ ἥμισυ· ὡς ἡ δυὰς πρὸς τριάδα· τοιοῦτοι δέ εἰσιν οἱ πεντάσημοι. ἐπίτριτον δὲ τῷ ἐν ἐπιτρίτῳ λόγῳ, ὅταν μετὰ τὴν ἰσότητα τὸν τρίτον καταλείπηται. οἷον ἔχει λόγον ἡ τριὰς πρὸς τὴν τετράδα· ἐπεὶ οὖν οἱ ἀπὸ τριῶν μακρῶν καὶ βραχείας ἑπτάσημοί εἰσιν, ἔχοντες ἐν αὐτοῖς τριάδα καὶ τετράδα εἰκότως ἐπίτριτοι καλοῦνται. S.

[b] ΑΝΑΠΑΙΣΤΟΣ] Draco p. 129, 1. διὰ τὸ ἀναπαίειν ἤτοι ἐναντιοῦσθαι τῷ δακτύλῳ.

[c] δακτύλῳ] δάκτυλος Fl. B 1. 2.

[d] μακρᾶς] βραχείας Fl.

[e] παιωνικὸς—παιωνικὰ] Sic dudum emendavit Micyllus de Re Metrica p. 6 b. ἰωνικὸς—ἰωνικὰ MSS. Edd.

[f] ΒΑΚΧΕΙΟΣ] Draco p. 128, 20. κέκληται δὲ οὕτως παρὰ τὸ ὑπὸ τῶν Βακχῶν, αἳ καὶ τοῦ Διονύσου ἦσαν ἱέρειαι, τοιούτους ᾄδεσθαι πόδας.

βραχείας καὶ δύο μακρῶν. Ἐκλήθη δὲ οὕτως, ἐπειδὴ οἱ τῶν διθυ-
ραμβοποιῶν πρὸς Διόνυσον ὕμνοι ὡς ἐπὶ τὸ πλεῖστον ἐκ τούτου
28 τοῦ μέτρου ἦσαν· ὁ καὶ ὑποβάκχειος. Ὄγδοος ὁ ΠΑΛΙΜΒΆΚΧΕΙΟΣ,
τούτῳ ἀντικείμενος, ἐκ δύο μακρῶν καὶ βραχείας, οὕτω κεκλημένος
διὰ τὸ ἀντίστροφος εἶναι τῷ βακχείῳ· ὁ καὶ Διονύσιος, καθὰ καὶ
αὐτὸς πρὸς τὰ Διονυσιακὰ μέλη πεποίηται· ὁ καὶ προσοδιακὸς,
καὶ πομπευτικὸς, διὰ τὸ ἐν [g] προσοδίοις ὕμνοις οὕτω καλουμένοις
29 καὶ ἐν ταῖς Διονυσιακαῖς πομπαῖς [h] ἐπιτήδειος εἶναι. Τῶν δὲ τε-
τρασυλλάβων μνείαν οἱ σχολιογράφοι οὐκ ἐποιήσαντο· διὰ τοῦτο
οὐδὲ ἡμεῖς πολλὰ περὶ αὐτῶν φιλοκρινοῦμεν. Τέως εἰσὶν οὗτοι,
πρῶτος ὁ ΠΡΟΚΕΛΕΥΣΜΑΤΙΚῸΣ οὕτω καλούμενος, ἐπειδὴ πρῶτός
ἐστι τῶν διπλῶν, ἐκ τεσσάρων βραχειῶν, σύνθετος ὢν ἐκ δύο πυρ-
30 ριχίων. Δεύτερος ὁ ἀντικείμενος αὐτῷ, ΔΙΣΠΌΝΔΕΙΟΣ, ἐκ τεσ-
31 σάρων μακρῶν, σύνθετος ὢν ἐκ δύο σπονδείων. Τρίτος, ὁ ΔΙΊΑΜΒΟΣ,
ἐκ βραχείας καὶ μακρᾶς καὶ βραχείας καὶ μακρᾶς, σύνθετος ὢν

[g] *προσοδίοις*] *ποδίης* Fl. *ποδίοις* B 1. 2. vid. Procli Chrestom. s. 9. 10. et ibi notata.

[h] *ἐπιτήδειον* Fl. B 1. Mox *φιλοκρινοῦμεν accuratius tractabimus*, interprete Toupio Emend. III. p. 428. Nescio quomodo accidit ut hoc verbum Thucydideo usu satis probatum, et a Budæo in commentarios fideliter relatum, ex H. Stephani Thesauro prorsus exulet. Vide Wassii indicem in v. et Abreschii Dilucid. p. 581. Auctar. p. 373. *Φιλοκρινεῖν* vel *φυλοκρινεῖν* sæpe usurpat Eustathius, cujus loca, in eorum præcipue gratiam qui lexicis condendis operam daturi sunt, quotquot scilicet ad manum enotata habeo, jam deinceps transcribam. Il. *β'*. p. 339, 35=257, 10. *Τὴν γὰρ Ἀχιλλέως πανοπλίαν τί χρὴ καὶ λέγειν, τὸ τῆς Ἰλιάδος δαιδάλεον ἔργον; οὕτω καὶ τοὺς κρείττους τῶν ἵππων, οἷά τι καὶ αὐτοὺς ὅπλον φιλοκρινεῖ.* *ι'*. 773=681, 25. *Ἰστέον δὲ καὶ ὅτι οὕτω πολὺς περὶ τοῦ Καλυδωνίου τούτου συὸς λόγος παρὰ τοῖς παλαιοῖς, ὡς καὶ γένος αὐτοῦ φυλοκρινεῖν.* et paullo post, *Ἰστέον δὲ ὡς οὐ μόνον ἀγρίους αἱ ἱστορίαι σύας μεγάλους φυλοκρινοῦσιν.* *λ'*. 865, 12 =810, 35. *οἱ δὲ ταῦτα φυλοκρινοῦντες.* *σ'*. 1154, 17=1209, 42. *τούτου δὲ τὴν αἰτίαν φιλοκρινεῖ πιθανῶς Πλούταρχος.* *υ'*. 1212, 52 =1291, 27. *φιλοκρινοῦνται δὲ τοῖς ἥρωσι τὰ τοιαῦτα οὐ μόνον στρατηγικῶς, ἀλλὰ καὶ διὰ πολυμάθειαν.* *χ'*. 1262, 50=1361, 14. *οἱ τὰ περὶ ζῴων φυλοκρινήσαντες.* Od. *θ'*. 1591, 46=301, 46. *καί κεν ἀλαός τοι ξεῖνε διακρίνειε τὸ σῆμα ἀμφαφόων. ἤγουν διερευνώμενος ἀφῇ, φιλοκρινῶν, περιβλεπόμενος.* *ι'*. 1619, 26=341, 19. *οὕτω καὶ τοὺς εἰς γεωργίαν δεξιοὺς τόπους τεχνηέντως ὁ ποιητὴς φιλοκρινεῖ.* *χ'*. 1918, 57=773, 32. *οἷα συγκεχυμένου τοῦ Εὐρυμάχου καὶ μὴ φιλοκρινοῦντος λόγου ἀκρίβειαν.* *ω'*. 1957, 17=829, 8. *οἱ ταῦτα φυλοκρινοῦντες.* Phrynichus in Anecdot. Bekkeri p. 71, 8. *Φυλοκρίνειν: κυρίως μὲν τὸ τὰς φυλὰς ἐν ταῖς πόλεσι διακρίνειν· σημαίνει δὲ καὶ τὸ ἄλλο τι διατάττειν καὶ διακρίνειν.*

ἐκ δύο ἰάμβων, ὁ καὶ παράλληλος ἴαμβος, ἡ ἰαμβικὴ ταυτοποδία.
32 *Τετάρτος ὁ ἀντικείμενος τούτῳ,* [i] ΔΙΤΡΟΧΑΙΟΣ, *ἐκ μακρᾶς καὶ*
βραχείας καὶ μακρᾶς καὶ βραχείας, ὁ καὶ κρητικὸς καὶ διχό-
33 *ρειος, ἡ τροχαϊκὴ ταυτοποδία.* Πέμπτος, *ὁ* ἈΠ' ἘΛΆΣΣΟΝΟΣ
ἸΩΝΙΚΟΣ, *ἐκ δύο βραχειῶν καὶ δύο μακρῶν, σύνθετος ὢν ἐκ πυρρι-*
34 *χίου καὶ σπονδείου, ὁ καὶ ὑποκύκλιος.* Ἕκτος, *ὁ* ἈΠΟ ΜΕΙΖΟΝΟΣ
ἸΩΝΙΚΟΣ, *ἀντικείμενος τούτῳ, ἐκ δύο μακρῶν καὶ δύο βραχειῶν,*
ἐκ τῶν αὐτῶν ποδῶν ἀνάπαλιν συγκείμενος, ὁ καὶ Περσικός· *ἰωνικὸς*
μὲν, ὅτι οἱ Ἴωνες *αὐτῷ ἐκέχρηντο·* Περσικὸς *δὲ, διὰ τὸ τὰς ἱστο-*
35 *ρίας τὰς* Περσικὰς [k] *τούτῳ τῷ μέτρῳ γεγράφθαι.* Ἕβδομος *ὁ*
[l] ἈΝΤΊΣΠΑΣΤΟΣ, *ἐκ βραχείας καὶ δύο μακρῶν καὶ βραχείας, ἐξ*
ἰάμβου καὶ τροχαίου, συγκείμενος, ὁ καὶ σπονδειακὸς, καὶ βακχεῖος
36 *κατὰ ἴαμβον.* Ὄγδοος *ὁ* ΧΟΡΊΑΜΒΟΣ, *ἀντικείμενος τούτῳ, ἐκ*
μακρᾶς δύο βραχειῶν καὶ μακρᾶς, ἐκ τῶν αὐτῶν ποδῶν ἀνάπαλιν
συγκείμενος, ὁ καὶ κύκλιος, ἡ ὑποβάκχειος, ἡ καὶ βακχεῖος κατὰ
37 *τροχαῖον.* Ἐφεξῆς *δὲ τούτων οἱ τέσσαρές εἰσι* [m] ΠΑΊΩΝΕΣ, *κοινῷ*
μὲν ὀνόματι οὕτω καλούμενοι, μίαν δὲ [n] *μόνην συλλαβὴν ἔχοντες*
ἕκαστος μακρὰν, τὰς δὲ λοιπὰς τρεῖς βραχείας. Περιερχομένης
[o] *δὲ τῆς μακρᾶς τὰς τέσσαρας τούτου χώρας, διαστέλλονται ἕκα-*
στος τῷ πρῶτος λέγεσθαι, καὶ δεύτερος, καὶ τρίτος, καὶ τέταρτος.
Ἔστι *τοίνυν πρῶτος παίων, ὁ ἐκ μακρᾶς καὶ τριῶν βραχειῶν συγ-*
κείμενος, ὁ καὶ παιωνικὸς, διὰ τὸ ἐν τοῖς παιῶσιν ὕμνοις [p] *παρα-*
λαμβάνεσθαι· δεύτερος ὁ ἐκ βραχείας καὶ μακρᾶς, καὶ δύο βρα-
χειῶν, ὁ καὶ συμβλητὸς, καὶ κρητικὸς λεγόμενος, διὰ τὴν αὐτὴν
αἰτίαν· τρίτος ὁ ἐκ δύο βραχειῶν μακρᾶς καὶ βραχείας, ὁ καὶ
διδυμαῖος, ἡ κουρητικὸς, ἡ δελφικὸς, ἡ [q] *δρόμιος· τέταρτος ὁ ἐκ*

[i] *Διτρόχαιος ἡ ἀντιπαράλληλος ὁ καὶ κρητικὸς κατ' Ἀριστόξενον ἡ διχ.* S.

[k] *τούτῳ τῷ μέτρῳ*] Addit S. *ὡς παρ' Αἰσχύλῳ καὶ ἄλλοις τισιν.*

[l] ἈΝΤΙ'ΣΠΑΣΤΟΣ] Draco p. 129, 25. *οἱονεὶ ἐναντίος ὢν τῷ χοριάμβῳ, καὶ διὰ τοῦτο οὕτω κεκλημένος.*

[m] ΠΑΙ'ΩΝΕΣ] Draco p. 130, 6. *παρὰ τὸ εἰς τὸν Παίωνα, τουτέστι τὸν Ἀπόλλωνα, τοιαῦτα μέτρα ᾄδεσθαι.*

[n] *μονοσύλλαβον ἕ. ἕκαστον* Fl. MSS.

[o] *δὲ* deest Fl. MSS. mox *διαστέλλεται* Turn.

[p] *παραλαμβάνεσθαι*] Addit S. (Aristoph. Plut. 636) *Ἀσκληπιοῦ παιῶνος εὐμενοῦς τυχών.*

[q] *δρόμιος*] *καὶ ἀριθμὸς* addit S. *δρόμοιος* et mox *ὑποχρηματικὸς* Fl. Marius Victorinus p. 2539. *Dehinc quia aptum saltantibus videtur, ὑπερχρωματικὸν a Græcis dicitur.* Lege *ὑπορχηματικόν.*

τριῶν βραχειῶν καὶ μακρᾶς, ὁ καὶ ὑπορχηματικὸς, καὶ κρητικός.

38 Ὁμοίως τούτοις ἔχουσι καὶ οἱ καλούμενοι [r] ἐπίτριτοι, τέσσαρες ὄντες καὶ οὗτοι, καὶ ἕκαστος τρεῖς μακρὰς καὶ μίαν βραχεῖαν ἔχοντες· περιερχομένης δὲ καὶ ἐν αὐτοῖς τῆς βραχείας συλλαβῆς, κατὰ τὴν θέσιν αὐτῆς διαστέλλονται ἀλλήλων τῷ τε πρῶτος λέγεσθαι, καὶ δεύτερος, καὶ τρίτος, καὶ τέταρτος. Ἔστιν οὖν πρῶτος ἐπίτριτος, ὁ ἐκ βραχείας καὶ τριῶν μακρῶν, ὁ καὶ ἵππειος, ἢ καρικὸς, ἢ δόχμιος· δεύτερος ὁ ἐκ μακρᾶς καὶ βραχείας καὶ δύο μακρῶν· τρίτος ὁ ἐκ δύο μακρῶν βραχείας καὶ μακρᾶς, ὁ καὶ [s] περιοδικός· τέταρτος ὁ ἐκ τριῶν μακρῶν καὶ βραχείας, ὁ καὶ μονογενής.

39 Ἰστέον δὲ ὅτι ἀπὸ τούτων ἐννέα [t] μόνον πόδες συνιστῶσι τὰ μέτρα· ὁ ἴαμβος, ἀφ' οὗ τὸ ἰαμβικόν· ὁ τροχαῖος, ἀφ' οὗ τὸ τροχαϊκόν· ὁ δάκτυλος, ἀφ' οὗ τὸ δακτυλικὸν, ἤγουν τὸ ἡρωϊκόν· ὁ ἀνάπαιστος, ἀφ' οὗ τὸ ἀναπαιστικόν· ὁ χορίαμβος, ἀφ' οὗ τὸ χοριαμβικόν· ὁ ἀντίσπαστος, ἀφ' οὗ τὸ ἀντισπαστικόν· ὁ ἰωνικὸς ἀπὸ μείζονος, ἀφ' οὗ τὸ ἰωνικὸν ἀπὸ μείζονος· ὁ ἰωνικὸς ἀπ' ἐλάσσονος, ἀφ' οὗ τὸ ἰωνικὸν ἀπ' ἐλάσσονος· καὶ ὁ κρητικὸς, ἤγουν ὁ ἀμφίμακρος, ἀφ' οὗ τὸ παιωνικόν. Οἱ δὲ λοιποὶ πόδες συνέρχονται μετὰ τούτων εἰς συμπλήρωσιν τῶν μέτρων, καθ' ἑαυτοὺς δὲ μέτρα οὐ συνιστῶσι.

ΚΕΦ. Δ.

ΠΕΡΙ ΑΠΟΘΕΣΕΩΣ.

[v] Κατάληξις καὶ ἀπόθεσις ταυτόν ἐστι. Κατακλεῖδά φησι τὸν πρὸ τῆς καταληκτικῆς συλλαβῆς πόδα μετὰ καὶ αὐτῆς τῆς συλ-

[r] ἘΠΙΤΡΙΤΟΙ] Draco p. 130, 20. Ἐπίτριτοι—κεκλημένοι οὕτως ἐκ μεταφορᾶς τῆς ἐν ἀριθμοῖς ἐπιτρίτου ἀναλογίας. Ἔστι γὰρ ἐπίτριτος ἀναλογία, ὅταν δύο ἀριθμῶν ὄντων ἀνίσων, ὁ μείζων ἔχῃ μὲν ὅλον ἐν ἑαυτῷ τὸν ἐλάττοναι ἔχει δὲ καὶ τὸ τρίτον αὐτοῦ, ὡς ὁ τέσσαρα πρὸς τὸν τρία. ἔχει γὰρ ὁ τέσσαρα ὅλον τὸν τρίτον, καὶ τὸ τρίτον τοῦ τρίτου, ἤγουν μονάδα, καὶ ἕκαστος δὲ τῶν ἐπιτρίτων ποδῶν τετρασύλλαβος μὲν ὢν, μίαν δὲ συλλαβὴν βραχεῖαν ἔχων. καὶ διὰ τοῦτο γινόμενος ἑπτάχρονος, εἰ κατὰ δισυλλαβίαν διαιρεθῇ, συμβαίνει τὰς μὲν δύο συλλαβὰς τεσσάρων ποιεῖν χρόνων, τὰς δὲ δύο, τρεῖς. τέσσαρες δὲ πρὸς τρεῖς τὴν ἐπίτριτον ἀναλογίαν ποιοῦσιν ὡς εἴρηται.

[s] παροδικὸς MSS.

[t] μόνοι B 1. 2.

[v] Κατάληξις] Bacchius senior Introd. Art. Mus. p. 22, 25. Κατάληξις δέ τι ἔστι; Ἡ παντὸς ἐλλείποντος μέτρου τελευταία συλλαβή. Hoc et plura apposuit Santenius ad Terent. Maur. p. 289.

λαβῆς. Δακτυλικὸν τρίμετρον καταληκτικὸν εἰς συλλαβὴν τὸ
καλούμενον πενθημιμερὲς, ποδῶν δύο καὶ συλλαβῆς ἐστὶ μιᾶς·
πενθημιμερὲς δὲ καλεῖται, ὅτι τὰ δύο ἥμισυ ἀναλυόμενα πέντε
2 μέρη ποιοῦσιν. Ὡσαύτως καὶ τὸ δακτυλικὸν τετράμετρον κατα-
ληκτικὸν εἰς συλλαβὴν, τὸ καὶ ἑφθημιμερὲς, ποδῶν ὑπάρχον τριῶν
ἥμισυ, φανερὸν ὅτι [u]ἕπτα μέρη ἔχει. Ὑπερκατάληκτον, εἰς
δισύλλαβον μὲν, ὅταν μετὰ τὴν συζυγίαν δύο συλλαβαὶ κατα-
λήξωσιν· εἰς συλλαβὴν δὲ, ὅταν μετὰ τὴν συζυγίαν συλλαβὴ μία
καταλήξῃ. Ἀκατάληκτον δὲ, ὅταν ἡ συζυγία ἀπαρτισθῇ εἰς τὴν
3 κατάληξιν. Καταληκτικὸν εἰς δισύλλαβον, ὅταν μετὰ ἕνα πόδα
συλλαβαὶ δύο καταλήξωσιν, ὥστε παρὰ συλλαβὴν πεπληρῶσθαι
τὴν συζυγίαν· καταληκτικὸν δὲ εἰς συλλαβὴν, ὅταν μετὰ ἕνα
πόδα εἰς συλλαβὴν λήξῃ, λειπουσῶν δηλαδὴ δύο συλλαβῶν·
βραχυκατάληκτον δὲ, ὅταν εἰς ἕνα πόδα ὁλόκληρος κατάληξις
γένηται.

ΚΕΦ. Ε.

ΠΕΡΙ ΕΠΙΠΛΟΚΗΣ.

[x]Ἐπιπλοκή ἐστι τοῦ μέτρου τὸ ἀνώτατον γένος, ἐξ ἧς τὰ μέτρα
γίνεται. Εἰσὶ μὲν οὖν ἐπιπλοκαὶ κατὰ μέν τινας καὶ ἄλλαι, πλὴν
αἱ νῦν ἀναγκαιόταται τρεῖς· καὶ ἡ μὲν καλεῖται τρίσημος δυαδική·
ἡ δὲ, τετράσημος δυαδική· ἡ δὲ, ἑξάσημος τετραδική· καὶ δυαδι-
κῆς μὲν τρισήμου εἴδη δύο, τό τε ἰαμβικὸν καὶ τὸ τροχαϊκόν· τῆς
δὲ τετρασήμου δυαδικῆς, δύο, τό τε δακτυλικὸν, καὶ τὸ ἀναπαι-
στικόν· τῆς δὲ ἑξασήμου τετραδικῆς, τέσσαρα, τό τε ἰωνικὸν τὸ ἀπὸ
μείζονος, τὸ χοριαμβικὸν, τὸ ἀπ' ἐλάσσονος ἰωνικὸν, καὶ τὸ ἀντι-
2 σπαστικόν. Ὠνομάσθησαν δὲ ἐπιπλοκαὶ, ἐπειδὴ τὰ ἐκ μιᾶς ἐπι-
πλοκῆς εἴδη ἀπ' ἀλλήλων εἰς ἄλληλα τὰ εἴδη μεταπίπτει.
Ἐροῦμεν δὲ καὶ ἑκάστης τὸ ἴδιον· ἡ μὲν γὰρ πρώτη τρίσημος
καλεῖται δυαδική· τρίσημος μὲν, ὡς τῶν ποδῶν τριχρόνων ὄντων·
δυαδικὴ δὲ, ὅτι εἴδη δύο ἐξ αὐτῆς γίνεται, τὸ ἰαμβικὸν, καὶ τὸ
τροχαϊκόν· καὶ ἡ τετράσημος δὲ δυαδικὴ ὡσαύτως, ὅτι οἱ πόδες
τετράχρονοί εἰσι· δύο δὲ εἴδη ἐξ αὐτῆς ἀποτελεῖται, τό τε δακτυ-

[u] ἕπτα μερῶν ἥμισυ Turn. ἕπτα μέρη ἥμισυ Fl.

[x] Ἐπιπλοκὴ] Draco p. 125, 7. ἐπιπλοκὴν λέγομεν τὴν εἰς ἄλληλα συγγένειαν τῶν μέτρων, ἢ τῶν μετρικῶν εἰδῶν.

3 λικὸν καὶ τὸ ἀναπαιστικόν. Καὶ ἡ ἑξάσημος δὲ τετραδικὴ ἀσφαλῶς εἴρηται· ἐὰν μὲν γὰρ κατὰ πόδα βαίνωμεν ἁπλοῦν, τρίσημος ὠνομάσθη δυαδική· ἐὰν δὲ κατὰ συζυγίαν, ἑξάσημος τετραδική. Μεταπίπτει δ' ἀπ' αὐτῶν εἰς ἄλληλα τὰ εἴδη τόνδε τὸν τρόπον· ἐκτίθημι καθαρὸν ἴαμβον τόνδε,

Ἰὼ [y]Κάϊκε Μύσιαί τ' ἐπιρροαί.

τούτου εἰ ἀφέλοις τὴν πρώτην συλλαβὴν, τὸ καταλειπόμενον γίνεται τροχαϊκὸν, ἀπὸ τοῦ τριμέτρου [z]τρίμετρον, ἀπὸ ἀκαταλήκτου καταληκτικόν· καὶ αὖ πάλιν εἰ ἀφέλοις, ἰαμβικὸν γίνεται τὸ τρο-
4 χαϊκόν. Οὐ μόνον δ' ἐν ταῖς ἀφαιρέσεσιν, ἀλλὰ καὶ ἐν ταῖς προσθέσεσι τὸ τοιοῦτον τῆς ἐπιπλοκῆς διασώζεται. φέρε γὰρ, τῷ προειρημένῳ στίχῳ εἰ προσθείην κατὰ τὴν ἀρχὴν μακρὰν συλλαβὴν, πάλιν γίνεται τροχαϊκόν·

Νῦν ἰὼ Κάϊκε Μύσιαί τ' ἐπιρροαί.

συμβαίνει οὖν κατὰ τὰς προσθέσεις ἢ ἀφαιρέσεις τάδε ἀλλήλοις
5 ἐπιπλέκεσθαι. Ταῦτα περὶ τρισήμου δυαδικῆς. Ἡ δὲ τετράσημος δυαδικὴ δύο μὲν εἴδη γεννᾷ, δακτυλικὸν καὶ ἀναπαιστικόν· καὶ διὰ τοῦτο καλεῖται δυαδικὴ τετράσημος, ὅτι ὁ δάκτυλος καὶ ὁ ἀνάπαιστος τετράσημοί εἰσιν, ἤγουν τετράχρονοι. Κληθείη δ' ἂν καὶ ὀκτάσημος, εἰ κατὰ συζυγίαν μετροῖτο, καὶ βαίνοιτο ὡς τὰ
6 ἀναπαιστικά. Ἐπιπλέκεται δὲ ἀλλήλοις ἀεὶ τὸν τρόπον τοῦτον· ἔστω στίχος ὅλος δακτυλικὸς, (Od. ι΄. 39.)

Ἰλιόθεν με φέρων ἄνεμος Κικόνεσσι πέλασσε.

τούτου τοίνυν πρώτην ἀφελὼν συλλαβὴν τὸ λειπόμενον γίνεται ἀναπαιστικόν· καὶ αὖ πάλιν, ἐὰν τὰς ἑξῆς ἀφέλῃς βραχείας δύο συλλαβὰς, γίνεται δακτυλικόν.

Θέν με φέρων ἄνεμος Κικόνεσσι πέλασσε.

ἢ κατὰ τὴν ἀρχὴν, ἐὰν προσθῶ δύο βραχείας, ἀναπαιστικὸν τὸ εἶδος γίνεται,

Ὅτε Ἰλιόθεν.

[y] Æschylus apud Strabonem XIII. p. 916.=884. ed. Oxon. Macrobium Saturn. V. 20.

[z] δίμετρον] τρίμετρον Fl. B. Pauwius legendum conjicit, ἀπὸ τοῦ τριμέτρου ἀκαταλήκτου τρίμετρον καταληκτικόν.

7 Τὸ αὐτὸ οὖν ποιεῖ καὶ πάσχει τὸ ἀναπαιστικὸν, πλὴν ὅτι τὰς δύο βραχείας κατὰ τὴν ἀρχὴν ὑφαιρεῖται, ἢ προσλαμβάνει μίαν μακράν. Δεῖ οὖν σε, ὅταν λαμβάνῃς δυαδικὴν τετράσημον, ἐὰν μὲν μακρὰν εὑρίσκῃς, μίαν ἀφαιρεῖν· ἐὰν δὲ βραχείας δύο, μίαν προστιθέναι μακράν· καὶ οὕτω σοὶ τὸ μὲν δακτυλικὸν γίνεται ἀναπαιστικὸν, τὸ δὲ ἀναπαιστικὸν δακτυλικόν. Ἐὰν μέντοι ὁ ἡρωϊκὸς στίχος καὶ σπονδεῖον ἔχῃ συγκαταμεμιγμένον, πάλιν τὸ ὅμοιον συμβαίνει· ἐν γὰρ ταῖς ἁρμοζούσαις προσθέσεσί τε καὶ ἀφαιρέσεσι τὸ εἶδος εἰς ἀναπαιστικὸν εἶδος ὑγιὲς ἀλλάσσεται, ὡς ἐπὶ τοῦδε, (Il. η'. 1.)

Ὣς εἰπὼν πυλέων ἐξέσσυτο φαίδιμος Ἕκτωρ.

ὑγιὲς ἐποίησα ἀναπαιστικὸν, προσθεὶς βραχείας δύο,

Ὁ δὲ ὣς εἰπὼν πυλέων.

8 Διὰ τί δὲ ἐν ταῖς πρώταις ἐπιπλοκαῖς κατὰ μίαν ἀφαιροῦμεν ἢ προστίθεμεν, ἐν δὲ τούτοις ἔσθ' ὅτε κατὰ δύο; Μάλιστα μὲν, ἐπεὶ ἐκεῖνα ἐξ ἁπλῶν δύο σύγκειται συλλαβῶν, ταῦτα δὲ ἐκ τριῶν· καὶ ὥσπερ ἐν τῷ περὶ καταλήξεως διεσήμαινε τὸ καταληκτικὸν καὶ ὑπερκαταληκτικόν· καταληκτικὸν μὲν, τὸ καταλῆγον εἰς δισυλλαβίαν, ὑπερκαταληκτικὸν δὲ, τὸ καταλῆγον εἰς μονοσυλλαβίαν· οὕτω κἀνταῦθα οὐ κατὰ μίαν μόνον, ἀλλ' ἐνίοτε καὶ κατὰ δύο.
9 Ἔτι δὲ κἀκεῖνο ῥητέον, ὅτι ἐκεῖνα μὲν ἐν ἴσῳ κεῖται λόγῳ, ταῦτα δὲ ἐν διπλασίῳ· πρὸς οὖν τὴν μίαν μακρὰν τὰς δύο δεῖ ἀφαιρεῖν ἢ
10 προστιθέναι βραχείας, ἵνα ἐν ἴσῳ ὁ λόγος διατηρηθῇ. Ἡ δὲ τρίτη ἐπιπλοκὴ καλεῖται μὲν τετραδικὴ, ἐπειδὴ τέσσαρα εἴδη ἐξ αὐτῆς ἐπιπλέκεται, ἀντισπαστικὸν, χοριαμβικὸν, καὶ ἰωνικὰ δύο· ἑξάσημος δὲ, ὅτι ἕκαστος τούτων ἑξάχρονός ἐστιν. Ἐπιπλέκεται δὲ ἐξ ἀλλήλων τοῦτον τὸν τρόπον· τίθημι μέτρον ἰωνικὸν ἀπὸ μείζονος,

Βλαστεῖ δ' ἐπὶ γῆς δένδρεα παντοῖα φύοντα.

τοῦτο ἀπὸ μείζονος ἰωνικὸν τετράμετρον βραχυκατάληκτον· ἀφαιρῶ αὐτοῦ τὴν πρώτην συλλαβὴν, τὸ καταλειπόμενον γίνεται χοριαμβικὸν,

στεῖ δ' ἐπὶ γῆς.

ἀφαιρῶ καὶ τὴν δευτέραν, τὸ καταλειπόμενον γίνεται ἰωνικὸν ἀπ᾿ ἐλάσσονος,

ἐπὶ γῆς δέν.

ἀφαιρῶ καὶ τὴν τρίτην, τὸ καταλειπόμενον ἐστιν ἀντισπαστικὸν,

πὶ γῆς δένδρε.

εἰ δὲ καὶ τὴν τετάρτην ἀφέλοις, ἀναδραμεῖται εἰς τὸ ἀρχαῖον τὸ ἀπὸ μείζονος,

γῆς δένδρεα.

11 Οὐ μόνον δὲ ἐν ταῖς προειρημέναις ἀφαιρέσεσιν ἀλλὰ καὶ ἐν ταῖς προσθέσεσιν αἱ εἰρημέναι σώζονται ἐπιπλοκαί· τὸ χάριεν δὲ τῆς παρατηρήσεώς ἐστι τοιοῦτον· ἐν μὲν ταῖς ἀφαιρέσεσι μετὰ τὸ ἰωνικὸν γίνεται χοριαμβικὸν, εἶτα ἀπ᾿ ἐλάσσονος, εἶτα ἀντισπαστικὸν, εἶτα πάλιν τὸ ἀπὸ μείζονος· ἐν δὲ ταῖς προσθέσεσι, τὸ ἀντισπαστικὸν, εἶτα πάλιν τὸ ἀπ᾿ ἐλάσσονος, εἶτα τὸ χοριαμβικὸν, εἶτα πάλιν τὸ ἀπὸ μείζονος.

12 Τοῦ μὲν ἡρωϊκοῦ μέτρου σχήματά εἰσι τριάκοντα δύο· ὅλων
γὰρ ὄντων δακτύλων ἓν σχῆμα γίνεται, καὶ ὅλων σπονδείων, ἕν·
δάκτυλος δὲ μετὰ σπονδείων, ε΄, σπονδεῖος δ᾿ αὖ μετὰ δακτύλων,
ε΄, δύο δὲ σπονδεῖοι μετὰ τριῶν δακτύλων, ι΄, καὶ δύο δάκτυλοι
μετὰ τριῶν σπονδείων, ι΄. Καὶ ἐστὶν ἡ μέθοδος οὕτως· ἑκάστη
τῶν ε΄ χωρῶν δύο δέχεται πόδας, δάκτυλόν τε καὶ σπονδεῖον.
Καταγράφω τοίνυν πεντάκις τὴν δυάδα β΄. β΄. β΄. β΄. β΄. καὶ
πολλαπλασιάσας τὴν πρώτην ἐπὶ τὴν β΄, ἤγουν δὶς δύο, ποιῶ
τέσσαρας· εἶτα τὰ ἀπὸ τῆς πρώτης καὶ β΄. γεγονότα, ἤγουν τὰ
τέσσαρα, ἐπὶ τὴν τρίτην, τοῦτ᾿ ἔστι τὰ δύο δὶς τέσσαρα λέγων,
καὶ ποιῶ η΄, καὶ ταῦτα ἐπὶ τὴν δ΄, ἤγουν τὰ δύο, καὶ γίνονται
13 ιϛ΄. δὶς γὰρ τὰ ὀκτὼ, ιϛ΄. καὶ ταῦτα ἐπὶ τὴν ε΄, καὶ γίνονται λβ΄.
δὶς γὰρ ιϛ΄, τριάκοντα δύο. Ἔλθωμεν καὶ ἐπὶ τὸν ἰαμβικόν· ἡ
πρώτη χώρα δέχεται πόδας ε΄, ἴαμβον, χορεῖον, ἀνάπαιστον, δάκ-
τυλον, σπονδεῖον. ἡ δευτέρα τρεῖς, ἴαμβον, χορεῖον, ἀνάπαιστον·
ἡ τρίτη πέντε, ὁμοίως τῇ πρώτῃ· ἡ τετάρτη τρεῖς, ὁμοίως τῇ
δευτέρᾳ· ἡ πέμπτη, πέντε· καὶ ἐκτίθημι οὕτως ε΄, γ΄, ε΄, γ΄, ε΄.
Τῇ ὁμοίᾳ οὖν χρώμεθα μεθόδῳ· πολλαπλασιάζω τὴν α΄ ἐπὶ τὴν

β'. πεντάκις τὰ γ', ιε'. καὶ ταῦτα ἐπὶ τὴν γ'. πεντάκις ιε', γίνονται οε'. καὶ ταῦτα ἐπὶ τὴν δ'. τρὶς οε', σκε'. καὶ ταῦτα ἐπὶ τὴν ε'. πεντάκις τὰ σκε', ͵αρκε'. ὥστε εἶναι τὰ τριμέτρου ἰαμβικοῦ σχήματα, ͵αρκε'. Διὰ τί οὖν τὴν ἕκτην χώραν οὐ μετροῦμεν; Ὅτι πάντως ἐστὶν ἴαμβος· κἂν γὰρ πυρρίχιος ᾖ, τῷ ἀδιάφορον εἶναι τὴν ἐσχάτην, ἴαμβός ἐστιν. Ὁ αὐτὸς οὖν ἀεὶ σχῆμα ἕτερον οὐ ποιεῖ· καὶ ἐπὶ τοῦ ἡρωϊκοῦ δὲ ὁμοίως.

ΚΕΦ. ϛ'.

ΠΕΡΙ ΙΑΜΒΙΚΟΥ.

Τὸ ἰαμβικὸν μέτρον κατὰ μὲν τὸ περιφανέστατον αὐτοῦ μεχρὶ τοῦ τριμέτρου πρόεισι· κατὰ δὲ τὰ παρὰ τοῖς παλαιοῖς εὑρισκόμενα, καὶ μεχρὶ τοῦ πενταμέτρου παραύξεται. Δέχεται δὲ κατὰ μὲν περιττὰς χώρας τοὺς πέντε τούτους πόδας, ἴαμβον, χορεῖον, σπονδεῖον, δάκτυλον, ἀνάπαιστον· εἰς δὲ τὰς ἀρτίους, τοὺς ἀπὸ βραχείας ἀρχομένους, ἴαμβόν φημι, καὶ χορεῖον, καὶ ἀνάπαιστον·
2 κατὰ δὲ τὴν ἕκτην χώραν, ἴαμβον μόνον, ἢ πυρρίχιον. Τρίμετρον δὲ ἔφαμεν, [a] τὸ ἓξ ἔχον πόδας ἢ χώρας, καθὸ κατὰ διποδίαν βαίνοιτο τὸ τοιοῦτον μέτρον. Ὑφίστανται δὲ ἀπὸ τούτου τοῦ μέτρου κατὰ ἀφαίρεσίν τε καὶ πρόσθεσιν μονόμετρά τε καὶ
3 δίμετρα, καὶ τετράμετρα, καὶ πεντάμετρα. Ἀποθέσεις δὲ αὐτῶν αἵπερ καὶ πάντων· καὶ γὰρ ἃ μὲν αὐτῶν ἐστιν ἀκατάληκτα, ἃ δὲ ὑπερκατάληκτα, ἃ δὲ καταληκτικὰ, ἃ δὲ βραχυκατάληκτα.

4 Μονόμετρον μὲν οὖν ἰαμβικὸν βραχυκατάληκτον τοῦτο,

φεῦ φεῦ.

λείπει γὰρ ὅλος ποὺς πρὸς τὸ μονόμετρον ἀπαρτίσαι. Ἀκατάληκτον δέ τοῦτο,

φεῦ φεῦ. ἰώ.

καταληκτικὸν δὲ τοῦτο,

ἄραρεν·

[a] τὸ ἓξ ἔχον πόδας] Hinc aliquoties, ut apud Latinos *senarius*, sic Græce ἑξάμετρον dicitur. Ita Clemens Alex. VI. p. 749. citat iambos Euripidis ἐν ἑξαμέτρῳ χρήσει.

εἰς συλλαβὴν γὰρ ἡ τελευταία χώρα λήγει. Ὑπερκατάληκτον δὲ τοῦτο,

πάτερ Λυκάμβα.

5 ἡ γὰρ διποδία νῦν μιᾷ πλεονάζει συλλαβῇ. Δίμετρον δὲ βραχυκατάληκτον μὲν τοῦτο,

ἥλιε θοαῖς ἵπποις.

λείπει γὰρ ὅλος ποὺς εἰς ἀπάρτισιν τῆς διποδίας. Ἀκατάληκτον δὲ ὡς τοῦτο,

ἐρῶ τε δεῦτε κοὐκ ἐρῶ,
καὶ μαίνομαι κοὐ μαίνομαι.

καταληκτικὸν δὲ ὡς τοῦτο,

ὁ μὲν θέλων μάχεσθαι.

6 μιᾷ γὰρ συλλαβῇ λείπει πρὸς τὸ διποδίαν ἀπαρτίσαι. Ὑπερκατάληκτον δὲ ὡς τόδε,

ἔσπειρεν αὐτὸς καὶ πέτρας δή.

μιᾷ γὰρ πλεονάζει τῆς διποδίας.

Τρίμετρον δὲ, βραχυκατάληκτον μὲν,

πάτερ Λυκάμβα ποῖον ἐφράσω,

λείπει γὰρ ὅλῳ ποδί. Ἀκατάληκτον δὲ, ὡς τὸ,

[b]ἥκω φέρων σοὶ τῆς ἐρήμου καρδίας.

καταληκτικὸν δὲ, ὡς τὸ,

ὄγμος κακοῦ δὲ γήραος καθαιρεῖ.

ὑπερκατάληκτον δὲ, ὡς τόδε,

πάτερ Λυκάμβα ποῖον ἐφράσω λόγον· τίς.

7 Τετράμετρον δὲ, βραχυκατάληκτον μὲν ὡς τοῦτο,

πάτερ Λυκάμβα ποῖον ἐφράσω λόγον· τίς σάς.

λείπει γὰρ ὅλῳ ποδὶ πρὸς τετράμετρον. Ἀκατάληκτον δὲ, ὡς τόδε,

δέξαι με κωμάζοντα, δέξαι, λίσσομαί σε, λίσσομαι.

πλήρεις γὰρ ἔχει τὰς δ' διποδίας. Κακαληκτικὸν δὲ, ὡς τόδε,

εἴ μοι γένοιτο παρθένος καλή τε καὶ τέρεινα,

[b] Etymologus MS. Parisiensis Bastio citatus Epist. Crit. Append. p. 53. habet ἥκω φέρων σοι τῆς ἐρήμου καθέδραν : sed alius codex præbet καρδ i. e. καρδίας. Vide notata ad Etymol. M. p. 424, 22.

λείπει γὰρ μιᾷ συλλαβῇ πρὸς τετράμετρον. Ὑπερκατάληκτον δὲ, ὡς τόδε,

[c]οὐκ ἦν γὰρ εἰκὸς τὴν φάτταν πεφυρμένην ψυχὴν γεωργεῖν.

8 πεντάμετρον δὲ βραχυκατάληκτον μὲν τόδε,

πάτερ Λυκάμβα ποῖον ἐφράσω λόγον· τίς σὰς παρήειρε.

ἀκατάληκτον δὲ,

πάτερ Λυκάμβα ποῖον ἐφράσω λόγον· τίς σὰς παρήειρε φρένας.

καταληκτικὸν δὲ τόδε,

πάτερ Λυκάμβα ποῖον ἐφράσω λόγον· τίς σὰς φρένας σ' ἀφεῖλεν.

Ὑπερκατάληκτον δὲ οὐκ ἔστιν, ὅπου καὶ αὐτὸ τὸ ἀκατάληκτον σπανιώτατόν ἐστι, διὰ τὸ μὴ βούλεσθαι τὸν ἴαμβον ἐπὶ [d]πλέον τῶν λβ′ χρόνων ἀνέρχεσθαι.

9 Ἔστι δὲ καὶ ἕτερον ἰαμβικὸν, καλούμενον χωλιαμβικὸν, ὃ τοῦ ὀρθοῦ τούτῳ διαφέρει. Τὸ μὲν γὰρ ὀρθὸν τὴν τελευταίαν βάσιν ἰάμβῳ ἢ πυρριχίῳ ἀπαρτίζει, καὶ ἀδιαφορεῖ κατὰ τὸν παραλήγοντα πάντας δεχόμενον τοὺς εἰς ἴαμβον συντελοῦντας πόδας, μηδὲν μικρολογούμενον περὶ τὴν τῶν συλλαβῶν ποσότητα· τὸ δὲ χωλὸν τὴν μὲν κατακλεῖδα, ἤτοι τὴν βάσιν, σπονδειακὴν ἀπαιτεῖ, ἢ τροχαϊκὴν πάντως, διὰ τὸ ἀδιάφορον τῆς τελευταίας συλλαβῆς· τὸν δὲ παραλήγοντα πόδα οὐ μόνον δισύλλαβον, ἀλλὰ καὶ ἴαμβον πάντως, ἢ σπονδεῖον· ἴαμβον μὲν ὡς τόδε,

ἀκούσαθ' Ἱππώνακτος, οὐ γὰρ ἀλλ' ἥκω.

σπονδεῖον δὲ ὡς τοῦτο,

ἐπ' ἄκρον ἕλκων ὥσπερ ἀλλᾶντα ψύχων.

καὶ περὶ ἰαμβικοῦ τοσαῦτα.

ΕΤΙ ΠΕΡΙ ΙΑΜΒΙΚΟΥ.

10 Τὸ ἰαμβικὸν μέτρον ἐστὶ μὲν ἑξάμετρον· διαιρεῖται δὲ εἰς δύο.

[c] "Laborat versus: nam in "quarto loco spondeus subsistere "non potest. An legendum *τὴν* "*φάτναν πεφυρμένην*." Sic Pauwius, quo sensu ipse viderit. *Φάτταν* haud dubie corrupta est vox, quam equidem in præsentia corrigere nequeo.

[d] *πλέον τῶν λβ′ χρόνων*] Augustinus de Musica III. ix. 20. *Intelligo ampliorem quam triginta duum temporum versum esse non posse.*

Τὸ μὲν γὰρ αὐτοῦ καλεῖται τραγικόν τε καὶ κωμικὸν, ᾧ καὶ τῶν
παλαιῶν οἱ πολλοὶ ἐχρήσαντο· (δέχεται δὲ τοῦτο ἐν μὲν τῇ
πρώτῃ, καὶ τρίτῃ, καὶ πέμπτῃ βάσει πόδας ε', δάκτυλον, σπον-
δεῖον, χορεῖον, ἀνάπαιστον, καὶ τὸν ὁμώνυμον ἴαμβον, ἐν δὲ τῇ
δευτέρᾳ καὶ τετάρτῃ, τοὺς ἀπὸ βραχείας ἀρχομένους, τοῦτ' ἔστιν
ἀνάπαιστον, χορεῖον, καὶ ἴαμβον, ἐν δὲ τῇ ἕκτῃ, ἴαμβον ἢ πυρρί-
χιον· δεῖ γὰρ αὐτὴν εἶναι πάντως δισύλλαβον, καὶ τὴν μὲν πρὸ
11 τέλους εἶναι βραχεῖαν, τὴν δὲ ἐπὶ τέλους ἀδιάφορον·) τὸ δὲ ἕτερον
τοῦ ἰαμβικοῦ μέρος καλεῖται καθαρόν τε καὶ τρίμετρον· τούτῳ δὲ
ὀλίγοι τῶν ἀρχαίων ἐχρήσαντο· δέχεται δὲ ἐν μὲν τῇ πρώτῃ
βάσει ἴαμβον καὶ σπονδεῖον, ὁμοίως καὶ ἐν τῇ τρίτῃ καὶ ἐν τῇ
πέμπτῃ· ἐν δὲ τῇ δευτέρᾳ καὶ τετάρτῃ ἴαμβον μόνον· ἐν δὲ τῇ
12 ἕκτῃ ἴαμβον ἢ πυρρίχιον. Ἐκλήθη δὲ ἴαμβος, ἀφ' οὗ τὸ μέτρον
παρονομάζεται ἰαμβικὸν, ἐπείπερ οἱ ὑβρίζειν καὶ λοιδορεῖν τινὰς
βουλόμενοι τούτῳ ἐχρῶντο τῷ μέτρῳ· [d] ἰαμβίζειν γὰρ ἔλεγον οἱ
παλαιοὶ τὸ ὑβρίζειν, ὅπερ ἐστὶ καὶ πικρίας ἀνάμεστα ῥήματα
λέγειν· ἢ ἀπὸ Ἰάμβης οὕτω καλουμένης κόρης, ἥτις αἰσχρῶς
ὑβρισθεῖσα ἀγχόνῃ κατέλυσε τὸν βίον, ὅπερ καὶ αἱ Λυκαμβίδες
ἐπὶ τοῖς Ἀρχιλόχου ποιήμασι. Καὶ διὰ τοῦτό φασι συντεθῆναι
τὸν ἴαμβον ἐκ βραχείας καὶ μακρᾶς, διὰ τὸ τὴν ὕβριν ἐκ βραχείας

[d] Vide Aristotelem in Poet. sect. 7. et ibi Tyrwhittum, quem etiam adi ad sect. 37. Eustathius ad Od. λ'. p. 1684=435, 4. Ἰστέον δὲ ὅτι πολλῶν προσώπων ἀψαμένων βρόχους ἐπὶ λύπαις, ἔπαθον οὕτω κατὰ τὴν παλαιὰν ἱστορίαν καὶ οἱ Λυκαμβίδαι ἐπὶ τοῖς Ἀρχιλόχου ποιήμασι, μὴ φέροντες (lege αἱ Λυκαμβίδες—φέρουσαι) τὴν ἐπιφορὰν τῶν κείνου σκωμμάτων· ἦν γὰρ ὁ ἀνὴρ δεινὸς ὑβρίζειν. Ὅθεν καὶ παροιμία ἐπὶ τῶν οὕτω σκώπτειν εὐφυῶν, τὸ, Ἀρχίλοχον πεπάτηκας, ὡς εἴ τις εἴπῃ, σκορπίον ἢ ὄφιν ἢ κακὴν ἄκανθαν. Καὶ κόρη δέ τις φασὶν Ἰάμβη αἰσχρῶς ὑβρισθεῖσα κατέλυσε τὸν βιὸν ἀγχόνῃ, διὸ καὶ ὁ παρωνομασμένος αὐτῇ ἴαμβος ἐκ βραχείας ὢν καὶ μακρᾶς, αἰνίττεται ὡς καὶ ἀλλαχοῦ ἐρρέθη, τὸ καὶ τὴν ὕβριν, ἧς εἶδος καὶ τὸ σκώπτειν, ἀπό τινος βραχέος αἰτίου ἀρχομένην, εἰς κακὸν μέγα καταλήγειν, ζήλῳ τῆς Ὁμηρικῆς ἔριδος, ἣ ὀλίγη τὰ πρῶτα κορυσσομένη, τέλος ὑψοῦται ὅπου φησὶν ὁ ποιητής. Ὅτι δὲ σκωπτόλης τὰ πρῶτα ὁ ἴαμβος, δηλοῖ καὶ ὁ πικρὸς Ἱππῶναξ, χωλιαμβοποιῶν ἀκράχολα. Ὅτι δὲ καὶ ἱλαροί τινες ᾖδοντο ἴαμβοι δηλοῖ ὁ ἱστορήσας ὡς Δημήτηρ λυπουμένη ἐπὶ ἡρπαγμένῃ τῇ κόρῃ, παρεξενώθη Κελέῳ καὶ τῇ γυναικὶ Μετανείρῃ ἐν τῇ Ἀττικῇ· θεράπαινα δὲ αὐτῶν Ἰάμβη παρεμυθεῖτο αὐτὴν ὀρχουμένη τοιούτῳ μέτρῳ. Vide et Strabonem IX. p. 422 A.=611, 20. ed. Oxon.

ἀρχομένην αἰτίας εἰς μέγα λήγειν κάκον. Μαρτυρεῖ δὲ τῷ λεγομένῳ Ὅμηρος ὁ σοφώτατος, (Il. δ'. 442.)

ἥτ' ὀλίγη μὲν, (λέγων,) πρῶτα κορύσσεται· αὐτὰρ ἔπειτα
οὐρανῷ ἐστήριξε κάρη καὶ ἐπὶ χθονὶ βαίνει.

13 Πόδες οὖν τοῦ ἰαμβικοῦ μέτρου ἕξ· ἴαμβος, χορεῖος, σπονδεῖος, δάκτυλος, ἀνάπαιστος, πυρρίχιος. Μετρεῖται δὲ τὸ ἰαμβικὸν κατὰ διποδίαν, ὅθεν καὶ τρίμετρον λέγεται· εἰ γὰρ καὶ ἑξάμετρον ἔφημεν αὐτὸ ἐν τῇ ἀρχῇ, ἀλλ' ἁπλῶς εἴπομεν, ἀντὶ τοῦ ἑξάποδον.

14 Τοῦ δὲ ἰαμβικοῦ μέτρου χαρακτῆρές εἰσι τέσσαρες, τραγικὸς, κωμικὸς, σατυρικὸς, καὶ οὕτω πῶς ἰδίως λεγόμενος ἰαμβικός. Καὶ ἐστὶ τραγικοῦ μὲν ἴδιον, τὸ ἐπὶ πλεῖστον μὲν ἐκ σπονδείων καὶ ἰάμβων συγκεῖσθαι, σπανίως δὲ καὶ ἕνα τρισύλλαβον ἐπιδέχεσθαι, οἷον, (Euripid. Bacch. 1.)

ἥκω Διὸς παῖς τήνδε Θηβαίαν χθόνα
Διόνυσος, ὃν τίκτει πόθ' ἡ Κάδμου κόρη.

κωμικοῦ δὲ ἴδιον, τὸ καὶ ἐκ τρισυλλάβων ὡς ἐπὶ τὸ πλεῖστον συγκεῖσθαι, οἷον, (Aristoph. Ran. 101.)

καὶ φρένα μὲν οὐκ ἐθέλουσαν ὀμόσαι καθ' ἱερῶν.

ἴδιον δὲ σατυρικοῦ, τὸ μέσον εἶναι τραγικοῦ καὶ κωμικοῦ, ἤγουν δέχεσθαι καὶ τοὺς τρισυλλάβους[e] μὴ κατακόρως, οἷον,

[f] ἤδ' ἄγκος ὑψίκρημνον ὄρεσι περίδρομον.

ἴδιον δὲ ἰαμβικοῦ, τὸ δισυλλάβους μόνους ἐπιδέχεσθαι πόδας, καὶ μάλιστα ἴαμβον, οἷον,

πάτερ Λυκάμβα, ποῖον ἐφράσω τόδε.

[e] τρισυλλάβους] Plures intellige in uno versu, quod ægre in tragico iambico licitum in una sede. CASAUBON. de Sat. Poës. I. 3. p. 98. ed. Rambach. Sic in Cycl. 203. ἄνεχε πάρεχε τί τάδε; τίς ἡ ῥαθυμία iterum 210. τί φατέ; τί λέγετε; τάχα τις ὑμῶν τῷ ξύλῳ.

[f] Est versus Euripidis Bacch. 1051. ubi nunc quidem legitur, ἦν δ' ἄγκος ἀμφίκρημνον ὕδασι διάβροχον. Hoc me olim docuit Porsonus.

ib. ὄρεσι περίδρομον in Euripide prætulit Porsonus fretus præcipue verbis Æschyli Theb. 495. Apollon. Rhod. III. 1085. Euripid. Strabon. VIII. p. 366. (Cresphont. fr. XII.) P. P. DOBRÆUS.

ΚΕΦ. Ζ.

ΠΕΡΙ ΤΟΥ [g] ΑΝΑΚΡΕΟΝΤΕΙΟΥ.

Τὸ μὲν Ἀνακρεόντειον οἱ ἀρχαῖοι τὸ δίμετρον ἰαμβικόν φασι, τὸ καὶ ἀκατάληκτον, ὅπερ καὶ ὀκτασύλλαβόν ἐστιν, ἐπιδεχόμενον, κατὰ μὲν τὴν πρώτην καὶ τρίτην χώραν, ἴαμβον καὶ σπονδεῖον, ὡς ἔθος· κατὰ δὲ τὴν δευτέραν ἴαμβον μόνον· κατὰ δὲ τὴν τετάρτην ἴαμβον ἢ πυρρίχιον, διὰ τὸ ἀδιάφορον τῆς τελευταίας συλλαβῆς.

2 Οἱ δὲ νεώτεροι διαιροῦσιν αὐτὸ εἴς τε κῶλα ἕξ, καὶ εἰς [h] δύο· καὶ τὰ μὲν ἓξ κῶλά φασιν [i] οἴκους, τὰ δὲ δύο κουκούλιον· καὶ ἐπιδέχονται οἱ μὲν οἶκοι ἀνάπαιστον καὶ δύο ἰάμβους καὶ περιττὴν συλλαβήν· οἷον,

ἀπὸ τοῦ λίθου τὸ [k] ῥεῖθρον.

καί,

[kk] ἀπὸ τῆς φίλης ἐρήμου.

3 Τὸ δὲ τούτων κουκούλιον σύγκειται ἔκ τε τοῦ ἐλάσσονος τῶν δισυλλάβων ποδῶν, τουτέστι τοῦ πυρριχίου, καὶ ἐκ τοῦ μείζονος, ἤτοι τοῦ σπονδείου· καὶ ἔχει ἐν μὲν ταῖς περιτταῖς χώραις τὸν ἐλάσσονα, ἐν δὲ ταῖς ἀρτίοις τὸν μείζονα· οἷον,

[g] ἈΝΑΚΡΕΟΝΤΕΙΟΥ] Carmina quæ hodie Anacreontis nomine circumferuntur, quorum paucissima videntur Anacreontis esse, pleraque multo recentiorum, quædam etiam plane imperitorum hominum sunt. HERMANNUS. Epit. D. M. s. 432. Qui multus est in istorum carminum ratione enucleanda.

[h] *εἰς δύο*] Sequentibus similia legas in Bachmanni Anecd. T. II. p. 192. apud Isaaci monachi lib. de Metris poëticis.

[i] *οἶκος*] Hymni genus, in Dei vel Sancti alicujus laudem, ita constructum, ut quasi *compagem*, *ædificium*, *fabricamque* virtutum ejus et gloriæ videatur componere: et ideo *κοντακίῳ* opponitur, ut eo amplius et diffusius. Italorum quoque poëmata habent *stanze*, id est *domus* sive *habitacula*. Ita Goarus apud Du Cangium in Glossario ubi plura. (Vide etiam Glossarium J. Meursii.) Idem etiam in v. *κουκούλιον* nostro utitur, et comparat Anonymum MStum *περὶ μέτρων*, vix tamen dignum qui a nobis iterum describatur. Vide Tzetzem Crameri Anecd. T. III. p. 318. 327. necnon Amadei Peyroni Comm. in Theodosium de Prosodia post Orionem Thebanum Sturzii p. 240.

[k] *τὸ ῥεῖθρον*] Elias de Metris p. 80. addit *λέγονται δὲ διὰ μέλους ἀνατέσσαροι τέσσαρες, οἷον, Φίλε μὴ λάθοις ἐμεῖο, Ἀρετῆς τρόποισι λάμπων, Ἀγάπης ὅρους φυλάττων, Μοναχῶν ἄριστε Μάρκε.*

[kk] *ἀπὸ τῆς*] Sophronii apud Maii Spicel. IV. p. 66.

ἀρετῆς εὐστεφάνου ἄνθεα δρέψας
ἁγίων περσιδάμου [l] κόσμου ἀΐων,

καί,

Ζαχαρίου [m] μεγάλου πάγκλυτε κοῦρε.

4 Τινὲς δὲ συντάττουσιν αὐτοῖς καὶ ἕτερον ἐξ ἑνὸς τῶν τετρασυλλάβων ποδῶν τὴν συστροφὴν ἔχοντα, ἤγουν ἐξ ἰωνικοῦ ἀπ' ἐλάσσονος τρίμετρον ἀκατάληκτον, ὃν καὶ ἀνακλώμενόν φασι, ἐπιδεχόμενον δὲ τομὴν ἑφθημιμερῆ, τουτέστι μετὰ τὰς τρεῖς τοῦ δευτέρου ποδὸς περαινομένην τὴν τομὴν εἰς μέρος λόγου· οἷον,

ἀρετῆς ἔργα φέρειν ἔμπονος ἥβη.

Ἔστι δὲ ὅτε καὶ ἀπὸ χοριάμβου ἄρχεται ὁ τοιοῦτος στίχος, εἶτα ἔχει τὸν ἰωνικὸν ἀπ' ἐλάσσονος, διὰ τὸ ἀδιάφορον τῆς τελευταίας, καθὰ τῷ ἁγίῳ [mm] Σωφρονίῳ καὶ ἄλλοις ἀρχαιοτέροις δοκεῖ· οἷον,

Χριστιανῶν μακάρων ἔλθετε παῖδες.

5 Καὶ οὕτω μὲν ἐκ τριῶν τετρασυλλάβων· εἰ δὲ βούλει ἐκ δισυλλάβων ἕξ, ἐν μὲν τῇ πρώτῃ χώρᾳ, τροχαίου, ἐν δὲ τῇ δευτέρᾳ, ἰάμβου, ἐν δὲ τῇ τρίτῃ, πυρριχίου, ἐν δὲ τῇ τετάρτῃ, σπονδείου, ἐν δὲ τῇ πέμπτῃ, πάλιν πυρριχίου, ἐν δὲ τῇ ἕκτῃ, τροχαίου, ἢ σπονδείου διὰ τὴν ἀδιάφορον.

ΚΕΦ. Η.

ΠΕΡΙ ΤΡΟΧΑΙΚΟΥ.

Ἔστι δὲ τὸ τροχαϊκὸν ὡσαύτως κατά τε τὰς τῶν ποδῶν παραυξήσεις, καὶ τὰς τομὰς, καὶ ἔτι τὰς [n] ἀποθέσεις· βαίνεται δὲ παραπλησίως [o] ἐκείνοις κατὰ διποδίαν. Ἐπισημότατα δ' [p] αὐτοῦ,

[l] κόσμον ἀεὶ ὢν B. κόσμον ἀειὼν S.

[m] Ζαχαρίου] Sophronii in Danielis Thesaur. hymnolog. T. III. p. 30. v. 17. Maii Spicileg. T. IV. p. 67.

[mm] Σωφρονίῳ] Vide Andreæ Cretensis Magnum Canonem Opp. p. 286. ed. Paris. 1644. Triodium citatum in Comment. ad Codinum c. 12. p. 320. ed. Bonn. Gretser. apud Pontan. in notis ad I. Cantacuzen. T. III. p. 395.

[n] ἀποθέσεις· καὶ μὴν καὶ κατὰ τὸ σεσιγῶσθαι τὰς βάσεις οὐ φαύλῳ τινι τοῦ ἰαμβικοῦ διαφέρον· βαίνεται δὲ S.

[o] ἐκείνοις] ἐκείνῳ S. qui addit post διποδίαν, δέχεται δὲ τὸ τρίμετρον αὐτοῦ πόδας, ἐν μὲν ταῖς περιτταῖς, τροχαῖον, ἴαμβον, τρίβραχυν ἤτοι χορεῖον, δάκτυλον, ἐν δὲ ταῖς

τό τε δίμετρον καταληκτικὸν, καὶ ἔτι τὸ τρίμετρον καταληκτικὸν, ὅ τινες καὶ ἀκέφαλον ἴαμβον καλοῦσιν, ὅτι μιᾷ συλλαβῇ λείπει κατ' ἀρχὰς ἰαμβικὸν τρίμετρον εἶναι· καὶ ἔτι τὸ [q]τετράμετρον.

2 Μονόμετρον μὲν οὖν τροχαϊκὸν βραχυκατάληκτον, ὡς τοῦτο,

Ζεῦς με.

[r]ἀκατάληκτον,

κάρφεται γάρ.

καταληκτικὸν,

Ζεῦ πάτερ.

ὑπερκατάληκτον,

ἔρχεται πολύς.

3 Δίμετρον δὲ, βραχυκατάληκτον μὲν,

κάρφεται γὰρ ἤδη,

[s]ὃ καὶ ἰθυφαλλικόν· ἀκατάληκτον δὲ,

οὐδ' Ἀμειψίαν ὁρᾶτε.

καταληκτικὸν δὲ,

νῦν δέ μοι πρὸ τειχέων.

ὃ καὶ Εὐριπίδειον· ὑπερκατάληκτον δὲ,

οὐδ' Ἀμειψίαν ὁρᾶτε νῦν.

4 Τρίμετρον δὲ, βραχυκατάληκτον μὲν, ὡς τοῦτο,

οὐδ' Ἀμειψίαν ὁρᾶτε πτωχόν.

ἀκατάληκτον δὲ,

νῦν δέ μοι πρὸ τειχέων θούριος Ἄρης.

καταληκτικὸν δὲ, ὃ καὶ ἴαμβον ἀκέφαλον ἔφαμεν καλεῖσθαι,

Ζεῦ πάτερ γάμον μὲν οὐκ [t]ἐδαισάμην.

ὑπερκατάληκτον δὲ,

ἔρχεται πολὺς μὲν Αἰγαῖον [u]διατμήξας.

ἀρτίαις, τροχαῖον, τρίβραχυν ἤτοι χορεῖον, σπονδεῖον, δάκτυλον, ἀνάπαιστον.

[p] αὐτοῦ] Addit S. καὶ παρὰ πολλοῖς φερόμενα, ubi mox om. ὅτι μιᾷ—εἶναι.

[q] τετράμετρον] Addit S. περὶ ὧν ἤδη εἰρήσεται. ἀλλ' ἀναλάβωμεν ἄνωθεν τὸν λόγον.

[r] ἀκαταληκτὸν] Addit S. δὲ ὡς τόδε. Hujusmodi additamenta in posterum omittam.

[s] ὃ καὶ] τοῦτο δὲ καὶ ἰ. καλεῖται S. Mox om. ὃ καὶ Εὐριπίδειον.

[t] ἐδαισάμην] ἐδησάμην S.

[u] διανήξας Fl. B. S. διανύσας Turn.

5 Τετράμετρον δὲ, βραχυκατάληκτον μὲν,

οὐδ' Ἀμειψίαν ὁρᾶτε πτωχὸν ὄνθ' ἐν' ἡμῶν.

ἀκατάληκτον δὲ,

κλῦθί μευ γέροντος εὐέθειρα χρυσόπεπλε κούρα.

καταληκτικὸν δὲ,

Ἐρξίη πῇ [x] δηῦτ' ἄνολβος ἀθροΐζεται στρατός.

ὑπερκατάληκτον δὲ,

κλῦθί μευ γέροντος εὐέθειρα χρυσόπεπλε νῦν κούρα.

6 Πεντάμετρον δὲ βραχυκατάληκτον μὲν τόδε,

ἔρχεται πολὺς μὲν Αἰγαῖον διατμήξας ἀπ' οἰνηρᾶς [y] δέ.

[z] ἀκατάληκτον δὲ, τὸ αὐτὸ, προσκειμένου τῷ τέλει τοῦ Χίου. Καταληκτικὸν δὲ, τὸ αὐτὸ πάλιν λείποντος τοῦ δὲ τοῦ συνδέσμου,

ἔρχεται πολὺς μὲν Αἰγαῖον διατμήξας ἀπ' οἰνηρᾶς Χίου.

ὑπερκατάληκτον δὲ οὐκ ἔστιν, ὥσπερ οὐδὲ ἐν τῷ ἰαμβικῷ.

7 Ἔστι δὲ καὶ χωλὸν τροχαϊκὸν τετράμετρον καταληκτικὸν, [a] ὃ τὸν παραλήγοντα πόδα σπονδεῖον ἔχει, ὡς τόδε,

[aa] Μητροτίμῳ δῆτ' ἐμὲ χρὴ τῷ σκότῳ δικάζεσθαι,

Χωλὸν δὲ [b] λέγεται, ὅτι τὸν παραλήγοντα πόδα σπονδεῖον ἔχει, ὃν ἀποστρέφεται τὰ καταληκτικὰ τροχαϊκά· ταῦτα γὰρ φιλεῖ τὴν κατακλεῖδα ἢ χορεῖον ἢ τροχαῖον φέρειν· τροχαῖον,

Ἐρξίη πῇ [c] δηῦτ' ἄνολβος ἀθροΐζεται στρατός.

χορεῖον,

τῶν πολιτῶν ἄνδρας ὑμῖν δημιουργοὺς ἀποφανῶ.

[d] Τοσαῦτα καὶ περὶ τροχαϊκοῦ· ἑξῆς δὲ περὶ δακτυλικοῦ λεκτέον.

ΚΕΦ. Θ.

ΠΕΡΙ ΔΑΚΤΥΛΙΚΟΥ.

[e] Τὸ δακτυλικὸν βαίνεται μὲν κατὰ μονοποδίαν, αὔξεται δὲ μέχρι ποδῶν ἕξ. Ἔχει δὲ διαφορὰς τρεῖς· τὸ μὲν γὰρ αὐτοῦ

[x] δῆτ'] δηῦτ' S.
[y] δέ] Χίου S.
[z] ἀκατάληκτον—τῷ ἰαμβικῷ lin. 15, om. S.
[a] ὃ τὸν—σπονδεῖον ἔχει om. S.
[aa] μὴ προτίμα] μητροτίμῳ Fl. μητροτίμῳ B. 1. 2.
[b] λέγει] λέγεται S.
[c] δῆτ'] δηῦτ' S.
[d] Seqq. addit S.
[e] Τὸ] τὸ τοίνυν S.

ἐστὶ κοινὸν, τὸ δὲ Αἰολικὸν, τὸ δὲ λογαοιδικόν. Τὸ μὲν οὖν κοινὸν κατὰ [e] πᾶσαν χώραν δέχεται ἀδιαφόρως δάκτυλον καὶ σπονδεῖον· ὑφίστησι δὲ κατὰ ἀφαίρεσιν δίμετρά τε καὶ τρίμετρα· μονόμετρα [f] δὲ οὐκ ἔχει, τῷ μὴ βαίνεσθαι κατὰ διποδίαν· συνέμπτωσιν γὰρ ἂν ἐποίει τῶν τοιούτων μέτρων πρός τε τὰ [g] τροχαϊκὰ καὶ ἰαμ-
2 βικά. [h] Ἔχει δὲ ἀποθέσεις τρεῖς, καταληκτικὸν εἴς τε συλλαβὴν, καὶ εἰς δισύλλαβον, καὶ ἀκατάληκτον. Καὶ δίμετρον μὲν ἀκατάληκτον, τὸ,

Ὑμῖν μὲν θεοί.

3 Τρίμετρον δὲ, καταληκτικὸν μὲν εἰς συλλαβὴν, ὃ καὶ πενθημιμερὲς καλεῖται καὶ Ἀρχιλόχειον, τὸ,

Ἐν δὲ Βατουσιάδης.

καταληκτικὸν δὲ εἰς δισύλλαβον, ὡς τὸ, (Il. α΄. 2.)

οὐλομένην ἣ μυρί',

ἀκατάληκτον δὲ τὸ,

Ἀτρεῖδαί τε καὶ ἄλλοι.

4 Τετράμετρον δὲ, καταληκτικὸν μὲν εἰς συλλαβὴν, τὸ καὶ ἐφθημιμερὲς, ᾧ Ἀλκμὰν κέχρηται,

ταῦτα μὲν ὡς ἂν ὁ δῆμος ἅπας.

καταληκτικὸν δὲ εἰς δισύλλαβον, τὸ καὶ Ἀρχιλόχειον,

φαινόμενον κακὸν οἴκαδ' ἄγεσθαι,

ἀκατάληκτον δὲ, τὸ Ἀρχιλόχειον, ὃ καὶ δίμοιρον ἔπους λέγεται,

οὐκέθ' ὁμῶς θάλλεις ἁπαλὸν χρόα.

5 Πεντάμετρον δὲ, καταληκτικὸν μὲν εἰς συλλαβὴν, (Il. β΄. 441.)

ὡς ἔφατ', οὐδ' ἀπίθησεν ἄναξ ἀνδρῶν.

καταληκτικὸν δὲ εἰς δισύλλαβον, τὸ καλούμενον Σιμμίειον,

χαῖρε ἄναξ ἑτάρε ζαθέας μάκαρ ἥβας.

ἀκατάληκτον δὲ, (Il. β΄. 2.)

εὗδον παννύχιοι· Δία δ' οὐκ ἔχε νήδυμος.

6 Ἑξάμετρον δὲ, καταληκτικὸν μὲν εἰς συλλαβὴν ἐκ τῶν Ὁμηρικῶν

[e] πᾶσαν χώραν] πάσας τὰς χώρας S.

[f] δὲ] γὰρ S.

[g] ἰαμβικὰ καὶ τροχαϊκὰ S.

[h] ἀποθέσεις δὲ τῶν δακτυλικῶν S. ubi desunt reliqua.

οὐκ ἔχομεν· εἴ που δέ τις ἐντύχοι, ἐστὶ τὸ μιᾷ συλλαβῇ περιττεῦον τοῦ πενταμέτρου ἀκαταλήκτου. Καταληκτικὸν δὲ εἰς δισύλλαβον, πάντα τὰ Ὁμηρικὰ ἔπη. Ἀκατάληκτον δὲ σπάνιον ἐξ αὐτῶν, ὡς τὸ, (Od. ι΄. 347.)

Κύκλωψ, τῆ, πίε οἶνον, ἐπεὶ φάγες ἀνδρόμεα κρέα.

7 Τὸ δὲ δακτυλικὸν τὸ Αἰολικὸν κατὰ μὲν τὰς ἄλλας χώρας πάσας ἐπιδέχεται ὡσαύτως τῷ κοινῷ τούς τε δακτύλους καὶ σπονδείους, ὁμοίως καὶ κατὰ τὰς [i]ἀποθέσεις· τὸν δὲ πρῶτον πόδα ἔχει ἕνα τῶν δισυλλάβων ἀδιάφορον. Ὅτε μὲν οὖν ἐστὶν ἀκατάληκτον, δάκτυλον ἢ ἀμφίμακρον ἔχει τὸν τελευταῖον πόδα· ἐὰν δὲ καταληκτικὸν, εἰς δισύλλαβον μὲν, σπονδεῖον ἢ τροχαῖον ἔχει τὸν τελευταῖον· εἰς συλλαβὴν δὲ, ἀδιάφορον. Ὑφίστανται δὲ καὶ ἐν τούτῳ κατὰ ἀφαιρέσεις δίμετρά τε καὶ τρίμετρα, καὶ ἔτι τετράμετρα καὶ πεντάμετρα· μονόμετρα γὰρ οὐκ ἔχει· καὶ ταῦτα καταληκτικά τε εἰς συλλαβὴν, καὶ εἰς δισύλλαβον, καὶ [j]ἀκατάληκτα.

ΕΤΙ ΠΕΡΙ ΤΟΥ ΑΥΤΟΥ.

8 Τὸ Ἡρωϊκὸν μέτρον ἑξάμετρόν ἐστιν· ἓξ γὰρ χώρας ἐπιδέχεται, καὶ κατὰ μονοποδίαν μετρεῖται. Κατὰ μὲν οὖν τὰς πέντε χώρας ἐπιδέχεται δάκτυλον, καὶ σπονδεῖον ἀδιάφορον, ἐνίοτε δὲ καὶ παλιμβάκχειον καὶ ἀμφίμακρον· καθαροὺς μέντοι καὶ ἐν τάξει δακτύλων κειμένους. Καθαροὶ δέ εἰσιν, ὅταν ἀπαρτίζωσιν εἰς μέρος λόγου, καὶ τὴν ἐπιφερομένην λέξιν ἔχωσιν ἀπὸ φωνήεντος ἀρχομένην· καὶ παλιμβάκχειον μὲν, ὡς ἐν τῷ (Od. α΄. 2.)

πλάγχθη· ἐπεὶ Τροίης ἱερὸν πτολίεθρον ἔπερσε.

ἀπήρτισται γὰρ εἰς μέρος λόγου τὸ πλάγχθη, καὶ ἡ ἑξῆς ἄρχεται ἀπὸ φωνήεντος τοῦ ε. Ἀμφίμακρον δὲ, ὡς ἐν τῷ (Il. γ΄. 164.)

οὔ τί μοι αἰτίη ἐσσὶ, θεοί νύ μοι αἴτιοί εἰσι.

καὶ εἰσὶν ἐν τούτῳ τρεῖς ἀμφίμακροι, ἔν τε τῇ ΜΟΙ συλλαβῇ δύο, καὶ ἐν τῇ αἰτίη· ἀπηρτισμένοι γάρ εἰσιν εἰς μέρος λόγου, καὶ τὰς ἑξῆς ἔχουσιν ἀπὸ φωνήεντος ἀρχομένας. ἡ δὲ ἕκτη χώρα σπονδεῖον δέχεται καὶ τροχαῖον· ἐπὶ παντὸς γὰρ μέτρου ἀδιάφορός ἐστιν ἡ

[i] Sic MSS. προθέσεις Edd.

[j] ἀκατάληκτα] Ea quæ sequuntur in edd. omisimus: sunt enim ipsius Hephæstionis verba inutiliter repetita.

9 τελευταία συλλαβή. Ἡρωϊκὸν δὲ καλεῖται τὸ μέτρον, ἐπείπερ Ὅμηρος ὁ ποιητὴς τὰς τῶν ἡρώων πράξεις διεξιὼν, τούτῳ κέχρηται τῷ μέτρῳ. Χρὴ δὲ γινώσκειν ὅτι ὁ παλιμβάκχειος εἰς τὴν δευτέραν συλλαβὴν θεραπεύεται, τοῦτ' ἔστιν, ἵνα ᾖ αὕτη ἡ δευτέρα συλλαβὴ τοῦ παλιμβακχείου εἰς μέρος λόγου, καὶ ἡ ἑξῆς ἄρχηται ἀπὸ φωνήεντος· οἷον,

πλάγχθη ἐπεὶ Τροίης ἱερὸν πτολίεθρον ἔπερσε.

ὁ δὲ ἀμφίμακρος κατὰ τὴν τρίτην, λήγουσαν καὶ ταύτην ὁμοίως εἰς μέρος λόγου, καὶ τὴν ἑξῆς ἔχουσαν ἀπὸ φωνήεντος ἀρχομένην, οἷον,

οὔ τί μοι αἰτίη ἐσσί, θεοί νυ μοί αἴτιοί εἰσιν.

Ἔπη δὲ λέγονται κυρίως οἱ τοῦ ἡρωϊκοῦ τούτου μέτρου καὶ ἑξαμέτρου στίχοι.

[j]ΠΕΡΙ ΔΙΑΦΟΡΩΝ ΤΩΝ ΗΡΩΙΚΟΥ.

10 Διαφοραὶ δὲ τῶν ἡρωϊκῶν στίχων εἰσὶν ἑπτά· κατενόπλιον, περιοδικὸν, βουκολικὸν, σαπφικὸν, ὑπόρρυθμον, τέλειον, καὶ [k]πολιτικόν. [l]Κατενόπλιον μὲν οὖν ἐστὶ τὸ ἔχον δύο δακτύλους καὶ ἕνα σπονδεῖον, οἷον, (Il. α'. 357.)

ὡς φάτο δακρυχέων, τοῦ δ' ἔκλυε πότνια μήτηρ.

11 [m]Περιοδικὸν δέ ἐστι, τὸ ἔχον ἕνα δάκτυλον, καὶ ἕνα σπονδεῖον, οἷον,

οὐλομένην, ἣ μυρί' Ἀχαιοῖς ἄλγε' ἔθηκε.

12 Βουκολικὸν δὲ τὸ μετὰ τρεῖς πόδας ἀπαρτίζον εἰς μέρος λόγου, οἷον, (Il. κ'. 475.)

[n]ἐξ ἐπιδιφριάδος πυμάτοις ἱμᾶσι δέδεντο.

13 [o]Σαπφικὸν δέ ἐστι τὸ ἀρχόμενον ἀπὸ σπονδείου, καὶ λῆγον εἰς

j Similia his leguntur in Plutarchi ed. Wyttenb. T. V. p. 865 = 1283.

k πολιτικόν] Addit Draco p. 139, 10. κλιμακωτὸν, ἐμπερίβολον.

l Κατενόπλιον] Vid. Herman. ad Schol. Aristoph. Nub. 651. Schol. Taurin. Aristoph. apud Dindorf. T. III. p. 406. Ritchell. Mus. Rhen. a. 1842. T. I. p. 290. Schol. Platon. p. 155.

m Περιοδικὸν] Draco p. 139, 17. Περιοδικὸν δέ ἐστιν ὅπερ ἐστὶ δάκτυλος καὶ σπονδεῖος, καὶ πάλιν δάκτυλος καὶ σπονδεῖος ἐφεξῆς μέχρι τέλους.

n ἐξ ἐπιδιφρ.] Exemplum huic loco non convenit. Draco dedit, ἀλλ' ἔκ τοι ἐρέω τόδε καὶ τετελέσθαι ὀΐω.

o Σαπφικὸν] Draco, p. 139, 22. Σαπφικὸν τὸ ἔχον ἐν τῇ ἀρχῇ καὶ τῷ τέλει σπονδείους, τοὺς δὲ μέσους δακτύλους.

σπονδεῖον, (Il. β΄. 1.)

ἄλλοι μὲν ῥα θεοί τε καὶ ἀνέρες ἱπποκορυσταί.

14 Ὑπόρρυθμον δέ ἐστι, τὸ καθ᾽ ἕκαστον πόδα ἀπαρτίζον εἰς μέρος λόγου, οἷον, (Il. α΄. 214.)

[p] ὕβριος εἵνεκα τῆσδε, σὺ δ᾽ ἴσχεο, πείθεο δ᾽ ἡμῖν.

15 Τέλειον δέ ἐστι τὸ ἔχον πάντα τὰ μέρη τοῦ λόγου, οἷον, (Il. χ΄. 59.)

πρὸς δ᾽ ἐμὲ τὸν δύστηνον ἔτι φρονέοντ᾽ ἐλέαιρε.

16 Πολιτικὸν δέ ἐστι, τὸ ἄνευ [q] πάθους ἢ τρόπου πεποιημένον, οἷον, (Il. λ΄. 679.)

ἵππους τε ξανθὰς ἑκατὸν καὶ [r] πεντήκοντα.

ὅπερ ταυτόν ἐστι τῷ λογοειδεῖ [s].

[p] Eustathius ad Il. ι΄. p. 740, init.=635, 32. Ἑπτ᾽ ἀπύρους τρίποδας, δέκα δὲ χρυσοῖο τάλαντα, Αἴθωνας δὲ λέβητας ἐείκοσι, δώδεκα δ᾽ ἵππους. Τούτων δὲ τῶν στίχων ἑκατέρου ἡ εἰς ἀνὰ δύο ἐννοίας τομή, οὐ πανὺ μετρικῶς ἔχειν δοκεῖ τοῖς παλαιοῖς, οἵ φασιν ὅτι τὸ μέτρον χαίρει μὲν συνδεσμεῖσθαι τοὺς πόδας ἀλλήλοις, ὡς κατὰ μηδὲν εἰς μέρος ἀπαρτίζειν λόγου, οἷον, Ἰλιόθεν με φέρων ἄνεμος Κικόνεσσι πέλασσε. Παραιτεῖται δὲ ὥσπερ τὸ κατὰ πόδα τέμνεσθαι, οἷον, Ὕβριος εἵνεκα τῆσδε, σὺ δ᾽ ἴσχεο, πείθεο δ᾽ ἡμῖν. Ἔνθα καθ᾽ ἕνα ἕκαστον πόδα καὶ μέρος λόγου ἀπαρτίζεται. Οὕτω καὶ τὴν δίχα τομήν, ἤγουν τὴν εἰς δύο ἐννοίας, ὡς τό, Ἔνθ᾽ οὔτ᾽ Ἰδομένευς τλῆ μίμνειν, οὔτ᾽ Ἀγαμέμνων. Οὕτω δὲ καὶ τὴν τριχῆ καὶ ἐπὶ πλεῖον διαίρεσιν. Ῥυθμικὰ γάρ φασι ταῦτα, ἡ μετρικά. Οὐκοῦν καὶ τὰ ῥηθέντα δύο ἔπη ῥυθμικώτερον διάκειται. Vide Santen. ad Terent. Maur. p. 266.

[q] πάθους] Draco p. 140, 13. πάθους λέξεως.

[r] πεντήκοντα] H. l. subjicit Draco p. 140. Κλιμακωτὸν δέ ἐστιν ἐν ᾧ προϊὼν ὁ στίχος ἀπ᾽ ἀρχῆς μέχρι τέλους αὔξει τὰς συλλαβάς, οἷον, ὦ μάκαρ Ἀτρείδη μοιρηγενὲς ὀλβιόδαιμον. Ἐμπεριβολόν ἐστι τὸ ἔχον τινὰ τῶν δέκα καταγοριῶν καὶ τῶν δέκα περιστατικῶν, οἷον, πολλὰς δ᾽ ἰφθίμους ψυχὰς Ἄϊδι προΐαψεν· ἔχει γὰρ οὗτος ὁ στίχος ποσόν, ποιόν, τόπον, καὶ χρόνον.

[s] De differentiis et affectionibus versuum heroicorum plura vide infra p. 193. seqq. Interim non inopportunum opinor sequentia ex Eustathio ad Od. φ΄. p. 1899=746, 9. excerpere. Τὸ δ᾽ ἐν Μεσσήνῃ ξυμβλήτην ἀλλήλοιϊν. ὃς δὴ στίχος καὶ ἐπαινεῖται ὡς ὁλοσπόνδειος, καὶ τῷ στασίμῳ τοῦ μέτρου ἐξομοιούμενος τῇ στάσει τῶν συναντώντων ἀλλήλοις κατὰ φιλίαν. Ὥσπερ αὖ πάλιν ἐπαινετοὶ ἑτέρωθι κατ᾽ ἄλλον τρόπον οἱ ὁλοδάκτυλοι. Ὁποῖον καὶ τό, Κεῖτο μέγας μεγαλωστί, λελασμένος ἱπποσυνάων.—Ὅτι δὲ τὸν ἐκ πέντε δακτύλων συγκείμενον στίχον καὶ ἕκτου σπονδείου ἢ τροχαίου πηδητικὸν μάλιστα οἴδασιν οἱ παλαιοί, ὁ τεχνικὸς παραδίδωσιν. Ἔνθα σημειωτέον τὸ μάλιστα

ΚΕΦ. Ι.

ΠΕΡΙ ΑΝΑΠΑΙΣΤΙΚΟΥ.

Τὸ δὲ ἀναπαιστικὸν κατὰ διποδίαν μὲν βαίνεται, κατὰ πᾶσαν δὲ χώραν δέχεται ἀδιαφόρως σπονδεῖον καὶ ἀνάπαιστον, σπανίως δὲ καὶ προκελευσματικόν· παρὰ δὲ τοῖς δραματοποιοῖς καὶ ἴαμβον καὶ δάκτυλον. Ἔχει δὲ καὶ ἀποθέσεις ἕξ· βραχυκατάληκτον, καταληκτικὸν εἰς συλλαβὴν, καταληκτικὸν εἰς δισύλλαβον, ἀκατάληκτον, ὑπερκατάληκτον εἰς συλλαβὴν, ὑπερκατάληκτον εἰς δισύλ-
2 λαβον. Δίμετρον μὲν καταληκτικὸν εἰς συλλαβὴν, ὃ καὶ παροιμιακὸν καλεῖται, τὸ,

πότε δ' Ἄρτεμις οὐκ ἐχόρευσε.
καὶ κόρκορος ἐν λαχάνοισιν.

3 τούτῳ δὲ καὶ Κρατῖνος καὶ Ἀρχίλοχος ἐχρήσαντο. Τρίμετρον δὲ καταληκτικὸν εἰς συλλαβὴν, τὸ καλούμενον Σιμμίειον, τὸ,

Ἱστία ἁγνὰ ἀπ' εὐξείνων μέσα τοίχων.

4 Τετράμετρον δὲ καταληκτικὸν, τὸ καλούμενον Ἀριστοφάνειον, ᾧ καὶ Ἀριστόξενος καὶ Ἐπίχαρμος καὶ Κρατῖνος ἐχρήσαντο, τὸ,

ὅτ' ἐγὼ τὰ δίκαια λέγων ἤνθουν, καὶ σωφροσύνη νενόμιστο.

ἀναπαιστικὸν δὲ τετράμετρον, τὸ διὰ προκελευσματικῆς ἐκλύσεως τῶν ἀναπαίστων γινόμενον, ἔστι τὸ Ἀριστοφάνους, τὸ,

τίς ὄρεα βαθύκομα τάδ' ἐπέσυτο βροτῶν.

5 Ἔστι δὲ καὶ λογαοιδικὸν ἀναπαιστικὸν, ὅπερ ἐν μὲν ταῖς ἄλλαις χώραις τοὺς αὐτοὺς ἐπιδέχεται πόδας τῷ ἀναπαιστικῷ καθαρῷ, ἐν δὲ τῷ τέλει ἴαμβον καὶ συλλαβὴν ἀδιάφορον, τοῦτ' ἔστιν, ἢ βακχεῖον, ἢ ἀμφίβραχυν. Ἔστι δὲ ἐπισημότατον αὐτοῦ, τὸ καλου-

δοκοῦν πρὸς διαστολὴν ἑτέρου εἰρῆσθαι πηδητικοῦ ἔπους. Εἴη δ' ἂν τοιοῦτον, ὁ κατ' ἐνόπλιον ῥυθμὸν πεποδισμένος στίχος, οὗ μέμνηται καὶ ὁ κωμικός. (Aristoph. Nub. 651.) Ὁποῖος κατὰ τοὺς παλαιοὺς, ὁ μετὰ δύο δακτύλους ἔχων σπονδεῖον κατὰ τὸ πάλιν καὶ πάλιν· οἷον, Ὣς φάτο δακρυχέων, τοῦ δ' ἔκλυε πότνια μήτηρ. Λέγοιτο δ' ἂν ἴσως κατ' ἐνόπλιον, διὰ τὸ πρέπειν μὲν ῥυθμὸν τοιοῦτον καὶ τοῖς ἄλλοις κινουμένοις μετὰ συντονίας· ἐπὶ πλέον δὲ, τοῖς μεθ' ὅπλων σεμνῶς πηδῶσι, καὶ κοῦφα πυρριχίζουσι. Cf. etiam Il. β'. p. 282. med. = 213, 48. λ'. p. 836, 15 = 770, 32. Od. χ'. p. 1923, 48. = 780, 32.

μενον Ἀρχεβούλειον, ᾧ καὶ Καλλίμαχος ἐχρήσατο, ἔχον τὸν πρῶτον πόδα ἀνάπαιστον, ἢ σπονδεῖον, ἢ ἴαμβον· τοὺς δὲ ἐφεξῆς πάντας, ἀναπαίστους· οἷον,

Ἀγέτω θεός· οὐ γὰρ ἔχω δίχα τῶνδ' ἀείδειν·
Νύμφα σὺ μὲν Ἀστερίαν ὑφ' ἅμαξαν ἤδη.
[t]Φιλωτέρα ἄρτι γὰρ ἡ Σικελὰ μὲν Ἔννα.

ἐν τοῖς διὰ μέσου μέντοι ἀναπαίστοις ὁ Ἀλκμὰν καὶ σπονδείους παραλαμβάνει.

ΚΕΦ. ΙΑ.

ΠΕΡΙ ΕΠΩΝ ΧΩΛΩΝ.

Γίνονται τὰ ἔπη [u]χωλὰ, ἢ κατὰ πλεονασμὸν, ἢ κατ' ἔνδειαν. Ἑκατέρου δὲ τούτων διαιρουμένου κατά τε τὴν ἀρχὴν, τὸ μέσον,

[t] Hermannus ad Orphica p. 788. "In Callimachi fragmento, "quod Hephæst. p. 38. servavit, "scribi debet, ἁ Σικελὰ μὲν Ἔννα. "Οἱ enim ex ἡ natum est, quod "scholiastes Hephæst. hoc versu "habet p. 92." Immo οἱ ex α male exarata derivatur. Vide Porsonum ad Eurip. Med. 44.

[u] Versus ἀκεφάλους, λαγαροὺς, μειούρους memorat Athen. XIV. p. 632 D. Sæpius Eustathius: viz. Il. α΄. p. 114=86, 26. τὸ δὲ πάθος τοῦ στίχου (ὀλοῇσι φρεσὶ θύει) θεραπεύουσιν οἱ μετρικοὶ ὡς οἴδασιν ἐκεῖνοι, λαγαροῦ ὄντος, καὶ ἐκτείνοντος μουσικῶς τὴν ΛΟ συλλαβὴν διὰ τῆς ἐφεξῆς περισπωμένης. Τίνες μέντοι ἐτόλμησαν γράψαι ὀλοιῇσι φρεσὶν, ἵνα οὕτως ἀπαθὴς εἴη ὁ στίχος. Il. γ΄. p. 399=302, 51. Διπαθὴς δὲ λαγαροειδῶς ὁ ῥηθεὶς στίχος περὶ τὸ μέσον ἐν τῷ, φίλε ἑκυρὲ, δυσὶ γὰρ ποσὶ σκάζει. Ὧν ὁ μὲν, ψευδοδάκτυλος, ὁ δὲ, σπονδεῖος βίαιος. Ἡ γὰρ ΛΕ συλλαβὴ ὡς μακρὰ λαμβανομένη διά τε τὴν προκειμένην ὀξεῖαν καὶ τὸ καταπεραιοῦν στιγμικῶς, καὶ διὰ τὴν ἐπιφερομένην δασεῖαν, δάκτυλον ἀπαρτίζει μετὰ τῶν ὑπ' αὐτὴν δύο συλλαβῶν. Ἡ δὲ ἐφεξῆς ΡΕ συλλαβὴ ὁμοίως ἐκτεινομένη τριχῶς λόγῳ κοινῆς συλλαβῆς, διὰ τὸ ὀξέως τονοῦσθαι, καὶ διὰ τὸ πέρας εἶναι λέξεως, καὶ διὰ τὸ προκεῖσθαι τοῦ Δ δυναμένου καὶ αὐτοῦ τεχνικῶς ἐκτείνειν διὰ τὸ πεφυκέναι διπλασιάζεσθαι, σπονδεῖον ἀποτελεῖ· καὶ οὕτως ἡ τοῦ μέτρου ποδικὴ ἐκθεραπεύεται χώλανσις. Il. ζ΄. 641=500, ult. Τὸ δὲ μένος ἐκτείνει μετρικῶς ἐνταῦθα τὴν λήγουσαν διὰ τὴν ἀρέσκουσαν Ἀριστάρχῳ τελείαν στιγμὴν, καὶ τὸ ἐν αὐτῇ οὕτω χρονίζον καὶ στάσιμον τῆς φωνῆς λόγῳ κοινῆς συλλαβῆς. Ἄλλως δέ γε δύο παθῶν ὥσπερ κεφαλικῶν τῶν ἐν τῇ ε΄ ῥαψῳδίᾳ ῥηθέντων, οὕτω καὶ κοιλιακῶν ὡς ἄν τις ἐρεῖ ἐν τοῖς Ὁμηρικοῖς ἔπεσιν ὄντων. Ἑνὸς μὲν, κατὰ μέγεθος εἴτουν πλεονασμὸν, ὃ δὴ προκοίλιον ἐκ μεταφορᾶς τῶν τοιούτων λέγεται ζῴων· ἑτέρου δὲ κατ' ἔνδειαν, ἤτοι ἔλλειψιν, ὃ σφηκῶδές τε καὶ σφηκοειδὲς λέγεται κατὰ μεταφορὰν τὴν ἐκ τῶν σφηκῶν, ἔτι δὲ καὶ λαγαρὸν τὸ αὐτὸ ἐκ τῆς κατὰ λαγόνας ἀπαχείας. Εἴη ἂν ὁ παρὼν στίχος τοῦ τοιούτου εἴδους, ὡς τρίχρονος τὸ μέσον, ἤγουν τὸν τέταρτον πόδα, ἰαμβικῶς, καὶ μὴ τετράχρονος σπονδειακῶς, ἢ δακτυλικῶς ὡς ἐχρῆν ἐν μέτρῳ ἡρωϊκῷ. Τοιοῦτον καὶ τὸ,

καὶ τὸ τέλος, γίνονται τρόποι ἕξ· ἐν μὲν τῇ ἀρχῇ δύο, ὁ προκέφαλος καὶ ἀκέφαλος· ἐν τῷ μέσῳ δὲ, ὁ προκοίλιος καὶ ὁ λαγαρός·

Βῆν εἰς Αἰόλου κλυτὰ δώματα. Ἡ γὰρ ἄρχουσα τοῦ Αἰόλου καὶ ἡ μετ' αὐτὴν εἰ καὶ μὴ κατὰ ἴαμβον, ἀλλ' οὖν κατὰ τροχαῖον σφηκικὴ καὶ ἀπαχὴς ἐστι λαγαρουμένη. Καὶ τοιαῦτα μὲν ταῦτα. Προκοιλίου δὲ παράδειγμα τὸ, Ὦ Ἀχιλεῦ Πηλέος υἱέ. Ὁ γὰρ τρίτος ποὺς τετρασύλλαβος ὢν, ὄγκωται οἷον τὴν κοιλίαν, καὶ δέεται συστολῆς μετρικῆς. Τοιοῦτον καὶ τὸ, Θώρηκας ῥήξειν δηΐων ἀμφὶ στήθεσφι. Καὶ αὐτὸ γὰρ ἐν τῷ τρίτῳ ποδὶ ἀσυμμετρίαν ἔχον, ἐθέλει σφίγγεσθαι τῇ συνιζήσει. Ὅμοιον καὶ τὸ πρῶτον ἔπος τῆς Ἰλιάδος. Καὶ τὸ πρὸ ὀλίγων ῥηθὲν, Βελλεροφόντης δὲ χρύσεον δέπας ἀμφικύπελλον, καὶ τὸ, Πατρόκλου ποθέων ἀνδρότητα. Καὶ οὕτω μὲν καὶ τάδε. Οἱ δὲ τὸ προκοίλιον λαγαρὸν καλέσαντες διὰ τὸ ἀκούειν ἴσως λαγαρὸν εἶναι οὗ τὸ πάχος ἐκκεκένωται εἰς πλάτος, οὐκ ἂν ἀρέσκοιεν τοῖς παλαιοῖς. Il. μ'. p. 900 =858, 20. Ἐν δὲ τῷ, Τρῶες δ' ἐρρίγησαν ὅπως ἴδον αἰόλον ὄφιν, στιχηρόν ἐστι πάθος ὃ λέγεται καὶ μυουρία διὰ διχρόνου τοῦ κατὰ τὴν ἀρχὴν, καὶ μειουρία διὰ τῆς ει διφθόγγου, ὡς ἐν τῷ τέλει πυρριχισθέντος τοῦ στίχου καὶ συστολὴν παθόντος κατὰ μυὸς οὐρὰν, ἢ κατὰ μείωσιν οὐραίου, ἤτοι τέλους ἄκρου, ὥσπερ ἔμπαλιν ἀκέφαλος λέγεται στίχος, ὁ περὶ τὴν ἀρχὴν καὶ οἱονεὶ κεφαλὴν συσταλεὶς, ὁποῖον καὶ τὸ, Ἐπειδὴ νῆάς τε καὶ Ἑλλήσποντον ἵκοντο. Αἴτιον δὲ τοῦ ῥηθέντος μειουρισμοῦ, ἡ τῆς ἕκτης χώρας ἐν τοῖς ἔπεσιν ἀδιαφορία. Ἕτεροι δὲ τὴν ὀξεῖαν τάσιν ἐκτατικὴν εἰδότες, ἀπ' αὐτῆς φασι προστεθῆναί τι χρόνου τῇ τοῦ ο φυσικῇ βραχύτητι, ὡς εἰς τροχαίου ἀπάρτισιν. Ἄλλοι δὲ ὄπφιν μετέγραψαν, οἷα ὀκνοῦντες διπλάσαι τὸ φ, διὰ τὸ οὐχ Ἑλληνικὸν τῆς γραφῆς. Ἀνὴρ γὰρ Ἕλλην οὐ διπλάζει τὰ δασέα, ὑφαιρουμένου τοῦ ὀφφικίου, αὐτὸ δὲ οὐ γλωσσῆς Ἑλλήνων ἐστί. Διὸ καὶ τὸ κὰπ φάλαρα ἀντὶ τοῦ κατὰ φάλαρα, περὶ οὗ καὶ προείρηται. Monet deinde καὶ γὰρ ἐγχωροῦν εἰπεῖν, Τρῶες δ' ἐρρίγησαν ὅπως ὄφιν αἰόλον εἶδον, ὅμως Ὅμηρος τὸν Ἑλληνικὸν ἐμφαίνει φόβον, καὶ τὴν συστολὴν, καὶ τὴν εἰς τὸ τάχυ φεύγειν ῥοπὴν, τῇ συστολῇ τοῦ μέτρου, καὶ τῷ τάχει τοῦ ἔπους εἰς βραχείας τελευτῶντος συλλαβάς. Il. ο'. p. 1012, 33=1013, pen. Ἰστέον δὲ ὅτι ὁ στίχος οὗ ἐν τῷ τέλει κεῖται τὸ, Οὓς τέκετο Ῥέα, εἰ καὶ εἰς τρίβραχυν πόδα δοκεῖ καταλήγειν, ἀλλ' οὖν εἰς δάκτυλον λογίζεται, οἷα τοῦ ῥῶ ἐκτείνοντος τὴν πρὸ αὐτοῦ συλλαβὴν, ὡς καὶ ἐν τῷ, Ἄλλοι δὲ ῥινοῖς, ἄλλοι δ' αὐτοῖσι βόεσσι. Καὶ γίνεται οὕτως ὁ στίχος μακροσκελὴς, κατὰ τὸ, Καὶ πὺξ ἀγαθὸν Πολυδεύκεα. Εἰ δὲ γράφεται, οὓς τέκε Ῥέα, κατά τινα τῶν ἀντιγράφων, μυουρίζεται τὸ ἔπος κατὰ τὸ, ὡς ἴδον αἰόλον ὄφιν. Vide etiam ad Il. ρ'. 1114, 42=1154, 8. Il. χ'. 1274, 50=1378, 2. Od. γ'. 1464, 61 =123, 39. Od. κ'. 1647, 23= 381, 36. Od. λ'. 1676, 15=422, ult. Od. ο'. 1775, 35=566, 20. Demetrius Phalereus, §. 255. Ἔστι δ' ὅπη κακοφωνία δεινότητα ποιεῖ, καὶ μάλιστα ἐὰν τὸ ὑποκείμενον πρᾶγμα δέῃ τοιαύτης. ὥσπερ τὸ Ὁμηρικὸν, τὸ, Τρῶες δ' ἐρρίγησαν ὅπως ἴδον αἰόλον ὄφιν· ἦν μὲν γὰρ καὶ εὐφωνοτέρως εἴποντα σῶσαι τὸ μέτρον· Τρῶες δ' ἐρρίγησαν ὅπως ὄφιν αἰόλον εἶδον· ἀλλ' οὔτ' ἂν ὁ λέγων δεινὸς οὕτως ἔδοξεν, οὔτε ὄφις αὐτός. "Ὄφιν "pronunciandum ὄπφιν. Neque "est μείουρος στίχος quod omnibus "vetustissimis criticis persuasum "fuit." Scaliger ad Eusebium p. 111=119. Adi sis Marium Victorinum p. 2511. Inter recentiores hoc genere metri utitur Lucianus Tragodop. 311—323.

ἐν δὲ τῷ τέλει, ὁ δολιχόουρος, ὃν καὶ μακροσκελῆ φασὶ, καὶ ὁ μείουρος· οὓς καὶ [x] πάθη τῶν στίχων φασί.

2 Προκέφαλος οὖν ἐστὶν, ὅταν ἐν ἀρχῇ πλεονάσῃ συλλαβῇ, ὡς ἐν τῷ, (Od. δ'. 682.)

Ἦ εἰπέμεναι δμωῇσιν Ὀδυσσῆος θείοιο.

καὶ ἐν τῷ,

Ἦ οὐχ ἅλις ὅττι γυναῖκας ἀνάλκιδας ἠπεροπεύεις.

πλεονάζει γὰρ ἐν τούτοις ἀμφοτέροις τὸ η.

3 Ἀκέφαλος δὲ, ὅταν ἐν τῇ ἀρχῇ ἐλλείπῃ χρόνῳ, ὡς ἐν τῷ,

Ἐπειδὴ νῆάς τε καὶ Ἑλλήσποντον ἵκοντο.

[x] πάθη τῶν στίχων] Πάθη τοῦ δακτυλικοῦ ἕξ· τρία μὲν κατὰ μέγεθος, τρία δὲ κατ' ἔλλειψιν. Κατὰ μέγεθος μὲν, τὸ λεγόμενον μακροκέφαλον, καὶ τὸ προκοίλιον καὶ τὸ μακροσκελές. Καὶ μακροκέφαλον μὲν ὅτε πλεονάζει συλλαβῇ κατ' ἀρχήν, καὶ συναίρεσις γίνεται συλλαβῶν εἰς μίαν, οἷον, Χρυσέῳ ἀνὰ σκήπτρῳ. Προκοίλιον δὲ, ὅταν τὸ αὐτὸ τοῦτο κατὰ τὸ μέσον πάθῃ, ὡς ἐν τῷ, Ἀχιλλεῦ Πηλέως υἱέ· ὁ τρίτος γὰρ πούς ἐστι λέως υἱέ. Μακροσκελὲς δὲ, ὅταν συλλαβῇ κατὰ τὸ τέλος πλεονάσῃ, ὡς ἐν τῷ, ἀλλ' ὅτε Σούνιον ἱερὸν ἀφικόμεθ' ἄκρον Ἀθηναίων, ἀνάγκη γάρ ἐστι τὸν τελευταῖον πόδα ἀντὶ τρισυλλάβου δισύλλαβον εἶναι. τὸ δὲ κατ' ἔλλειψιν· ἔστι γὰρ ἀκέφαλον τὸ ἐλλεῖπον χρόνῳ κατ' ἄρχην, ὡς ἐν τούτῳ, ἐπειδὴ νῆάς τε καὶ Ἑλλήσποντον ἥκοντο. Λαγαρὸν δὲ τὸ ἐλλεῖπον χρόνῳ κατὰ τὸ μέσον, ὡς τὸ, βῆ δ' εἰς Αἰόλου κλυτὰ δώματα· ὅτε γὰρ δεύτερος πούς αιο ἐξ ἀνάγκης ἐστὶ τροχαῖος, ὅτε δὲ τὸ ō συλλαβὴν οὐ δύναται μακρὰν ποιεῖν, δῆλον ὅτι μὴ ἀπήρτισεν εἰς μέρος λόγου. Τὸ δὲ ἐλλεῖπον χρόνῳ κατὰ τὸ τέλος μείουρον λέγεται, ὡς ἐν τῷ Τρῶες δ' ἐρρίγησαν ὅπως ἴδον αἰόλον ὄφιν. Χαίρει δὲ μάλιστα τὸ αὐτὸ μέτρον τῷ συνδέσμῳ τῶν ποδῶν, ὅταν κατὰ μηδὲν εἰς μέρος λόγου ἀπαρτίζῃ, ἀλλὰ συνδεδεμένοι πως εἰσὶν ἀλλήλοις, ὡς τὸ, Ἰλιόθεν με φέρων ἄνεμος Κικόνεσσι πέλασσε· παραιτεῖται δὲ τὴν κατὰ πόδα τομὴν, ὡς ἐν τῷ, Ὕβριος εἵνεκα τῆσδε, σὺ δ' ἴσχεο, πείθεο δ' ἡμῖν. καθ' ἕκαστον γὰρ πόδα καὶ μέρος λόγου ἀπήρτισται· παραιτεῖται δὲ καὶ τὴν δίχα τομὴν, ὡς ἐν τῷ, ἔνθ' αὖτ' οὔτ' Ἰδομενεὺς τλεῖ μίμνειν οὔτ' Ἀγαμέμνων. ἀπήρτισται γὰρ ἀληθῶς εἰς μέρος λόγου κατὰ τὸν τρίτον πόδα. καὶ τὴν ἐν τριχῇ διαίρεσιν ὡς ἐν τῷ Ἥρως μή μοι τοὔνεκ' ἀμύμονα νείκεαι κούρην. ῥυθμικὰ γὰρ τὰ τοιαῦτα ἢ μετρικά. τὴν δὲ κατὰ τὸν τέταρτον πόδα τομὴν οὐκ ἀποστρέφεται, ὅτι πλείω μέρη τοῦ λόγου τῷ στίχῳ συνδέδεται. Τούτῳ τῷ μέτρῳ συμπίπτει καὶ τὰ βουκολικὰ καλούμενα, ἐὰν εἰς τὸν τέταρτον πόδα δάκτυλον ἀπαρτίζηται. παραιτεῖται δὲ καὶ πέμπτον εἶναι σπονδεῖον.—Ὅτι πᾶν μέτρον παραλήγεσθαι βούλεται τῷ οἰκείῳ ποδὶ, οὗ καὶ ἐπώνυμον ἐστὶ μάλιστα, ὅταν ἀπαρτίζηται μέρος λόγου ἐν αὐτῷ· ὥστε ἐκείνῳ (Od. ξ'. 239.) ἦ ἐνανήσασθαι χαλεπὴ δὲ δήμου φῆμις. καὶ γὰρ τῇ ἀκοῇ αὐτόθεν προσπίπτει τὸ κεχηνὸς τοῦ ἔπους εἰ καὶ σπονδεῖος ἔστι ἀλλ' ἧττον ἐλλείπω ὅταν τὸ ἑξῆς συνῆπται ποδί.—Μεσόκλαστοι δέ εἰσιν ὅσοι κατὰ τὸ μέσον πάθος τι ἔχουσι, ὡς τὸ βῆ δ' εἰς Αἰόλου— S. Confer cum his Draconem p. 137, sq.

καὶ ἐν τῷ, (Il. α΄. 70.)

ὃς ᾔδει τά τ' ἐόντα,

λείπει γὰρ ἐν τούτοις τῷ πρώτῳ ποδὶ χρόνος εἷς πρὸς τὴν τοῦ μέτρου σύστασιν.

4 Προκοίλιος δὲ, ὅταν ἐν τῷ μέσῳ πλεονάσῃ ἢ συλλαβῇ, ἢ χρόνῳ· συλλαβῇ μὲν, ὡς ἐν τῷ, (Il. β΄. 544.)

Θώρηκας ῥήξειν δηΐων ἀμφὶ στήθεσσιν.

πλεονάζει γὰρ ἐν ΔΗΪΩΝ ἡ ι. χρόνῳ δὲ, ὡς ἐν τῷ, (Il. α΄. 17.)

Ἀτρεΐδαι τε καὶ ἄλλοι ἐϋκνήμιδες Ἀχαιοί·

πλεονάζει γὰρ ἐν τῷ ΚΑΙ χρόνος.

5 Λαγαρὸς δὲ, ὅν τινες καὶ σφηκοειδῆ καλοῦσιν, ὁ κατὰ τὸ μέσον ἐλλιπὴς χρόνῳ ἢ συλλαβῇ, ὡς ἐν τῷ, (Od. κ΄. 60.)

Βῆ δ' εἰς Αἰόλου κατὰ δώματα,

ἐλλείπει γὰρ κατὰ τὸ ο χρόνος ἢ συλλαβή.

6 [y]Δολιχόουρος δὲ, ὁ κατὰ τὸ τέλος πλεονάζων συλλαβῇ, οἷον, (Od. ε΄. 231.)

λεπτὸν καὶ χάριεν, περὶ δὲ ζώνην βάλετ' ἰξύϊ.

πλεονάζει γὰρ τῇ ι συλλαβῇ.

7 [z]Μείουρος δὲ, ὁ κατὰ τὸ τέλος ἐλλείπων χρόνῳ, ὡς ἐν τῷ,

Τρῶες δ' ἐρρίγησαν, ἐπεὶ ἴδον αἰόλον ὄφιν.

τούτων μὲν οὖν τῶν ἓξ τρόπων ὅσοι δύνανται ἢ διὰ κοινῆς συλλαβῆς ἢ διὰ συνιζήσεως θεραπεύεσθαι, οὐ κυρίως ἂν κληθεῖεν πάθη.

8 Ζητήσειε δ' ἄν τις περί τε τοῦ, (Il. ι΄. 5.)

Βορέης καὶ Ζέφυρος, τώ τε Θρήκηθεν ἄητον.

καὶ τοῦ, (Od. σ΄. 246.)

Πλέονές κε μνηστῆρες ἐν ὑμετέροισι δόμοισι.

καὶ τῶν ὁμοίων, πότερον ἀκεφάλους χρὴ λέγεσθαι, ἢ μή· προκέφαλοι μὲν γὰρ οὐκ εἰσίν. οὔτε γὰρ χρόνῳ πλεονάζουσιν οἱ πρῶτοι πόδες, ἐπειδὴ τετράχρονοί εἰσι, καὶ ἰσοδυναμοῦσι τοῖς δακτύλοις. Φαμὲν οὖν κατὰ λόγον αὐτοὺς ἀκεφάλους καλεῖν, εἰ καὶ μὴ ἐλλείπουσι χρόνῳ ἢ συλλαβῇ· κεφαλὴν γὰρ ἔπους καθόλου τὴν ἄρχουσαν μακρὰν χρὴ νομίζειν εἶναι. Ἐὰν οὖν αὕτη τῆς οἰκείας

[y] ΔΟΛΙΧΟΟΥΡΟΣ] Draco p. 141, 15. Δολιχόουρος—ὁ δολιχὴν, ἤγουν μακρὰν, τὴν οὐρὰν, τουτέστι τὴν ἕκτην χώραν ἔχων, οἷον, Νέστορά θ' ἱππόδαμον καὶ πὺξ ἀγαθὸν Πολυδεύκεα.

[z] ΜΕΙΟΥΡΟΣ] Μύουρος scribendum statuit Meinekius Sp. 2. in Athenæum p. 35. Vid. Eustath. supra p. 194.

χώρας ἐκπέσῃ, καὶ ἀντ' αὐτῆς βραχεῖα τεθῇ, ἀκέφαλον ἐξ ἀνάγκης
9 τὸ ἔπος γίνεται. Καὶ τούτων τῶν προτεθέντων στίχων, ὁ μὲν,

Πλέονές κε μνηστῆρες,

δύναται διὰ συνιζήσεως θεραπευθῆναι τῆς πλε καὶ ο συλλαβῆς εἰς μίαν μακράν· ὁ δὲ ἄλλος ἀθεράπευτός ἐστιν, ὥσπερ καὶ ἐπὶ τοῦ, (Od. η'. 119.)

Ζεφυρείην πνείουσα.

10 Φασὶ δέ τινες καὶ περὶ τούτων, ὅτι ὁ ποιητὴς εὐφωνίας μᾶλλον ἢ μέτρου φροντίζων, ἐστὶν ὅπου τῆς τοῦ μέτρου ἀκριβείας ὑπερορᾷ· καὶ τοῦτο δῆλον ἐκ τοῦ,

Τρῶες δ' ἐρρίγησαν, ἐπεὶ ἴδον αἰόλον ὄφιν.

ἠδύνατο γὰρ εἰπεῖν,

Τρῶες δ' ἐρρίγησαν, ὅπως ὄφιν αἰόλον εἶδον·

ἢ ὅτι ἐνταῦθα ὁ ποιητὴς ᾔσθετο τῆς τοῦ δασέος Φ ἐκφωνήσεως, πλέον τὶ ἐχούσης διὰ τὴν σφοδρότητα τοῦ πνεύματος, ὡς καὶ
11 Ἡλιοδώρῳ δοκεῖ τῇ δασείᾳ πλέον τὶ νέμειν. Τὸ αὐτό φασι καὶ περὶ τοῦ Ζεφυρείην. Ἀλλὰ κατὰ τοῦτον τὸν λόγον δόξειεν ἂν κἂν τούτῳ τὴν ΖΕ συλλαβὴν μακρὰν εἶναι διὰ τὴν τοῦ δασέος Φ ἐπαγωγὴν, ὡς καὶ ἐν τῷ ΟΦΙΝ. ἀλλ' ἡ ΡΕΙ συλλαβὴ διὰ διφθόγγου γραφομένη οὐκ ἐᾷ τὸν λόγον τοῦτον ἄπταιστον προβῆναι. οὐ γὰρ δύναται διὰ τῶν τριῶν τούτων συλλαβῶν δάκτυλος συνίστασθαι, εἰ μή που τὴν ΡΕΙ συλλαβὴν διὰ τοῦ Ι φήσειε γράφεσθαι. ἤδη δέ τινες καὶ τοῦ ΒΟΡΕΗΣ τὴν [a] ΒΟ καὶ ΡΕ συλλαβὴν ἐπεχείρησαν διὰ συνιζήσεως εἰς μίαν μακρὰν συνάπτειν, λέγοντες ὡς μετὰ τὴν ΒΟ συλλαβὴν τοῦ Ρ ἐπιφερομένου, ὅπερ ὡς φωνῆεν καταλογίζεται, (διὰ τοῦτο γὰρ καὶ δασύνεται ἐν πάσῃ ἀρχῇ λέξεως,)
12 οὐδὲν ἔσται ἐμπόδιον κοινὴν γενέσθαι συλλαβήν. Ἀκέφαλος οὖν πάντῃ ἀθεράπευτός ἐστιν, ὡς ἐν τῷ, (Il. α'. 193.)

Ἕως ὁ ταῦθ' ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμόν.

καὶ ἐν τῷ, (Od. δ'. 90.)

Ἕως ἐγὼ περὶ κεῖνα.

οὐδεμιᾷ γὰρ μηχανῇ οὔτε διὰ συνιζήσεως οὔτε διὰ κοινῆς συλλαβῆς δύναται θεραπευθῆναι· καὶ εἰσὶν ὁμολογουμένως πάθη. Τούτοις ὅμοιόν ἐστι καὶ τὸ, (Od. μ'. 423.)

ἐπίτονος βέβλητο βοὸς ῥινοῖο τετευχώς.

[a] Lege τὴν ΡΕ καὶ ΗΣ συλλαβήν. PAUW.

Εἰσὶ δὲ καὶ εἴδη στίχων ἕξ· [b] ἰσόχρονος, ἀπηρτισμένος, τραχὺς, μαλακοειδὴς, κακόφωνος, καὶ λογοειδής. Ἰσόχρονος μὲν οὖν ἐστὶν, ὁ τὰ μεγέθη τῶν συλλαβῶν καὶ τοὺς πόδας ἀπὸ τῶν πρώτων μέχρι τῶν ἐσχάτων τὰ αὐτὰ ἔχων, ἤγουν ἐξ ὅλων σπονδείων συγκείμενος, ὡς τὸ, (Od. φ΄. 15.)

Τὼ δ᾽ ἐν Μεσσήνῃ ξυμβλήτην ἀλλήλοιϊν.

14 Ἀπηρτισμένος, [c] ὁ διάνοιαν αὐτοτελῆ ἔχων ἐν αὐτῷ· οἷον,

Ὡς εἰπὼν πυλέων ἐξέσσυτο φαίδιμος Ἕκτωρ.

15 Τραχὺς δέ ἐστιν, ὁ τὸν ῥυθμὸν τῶν φθόγγων ἐκ τραχυτέρων λέξεων συνιστῶν· οἷον, (Il. γ΄. 363.)

Τριχθά τε καὶ τετραχθὰ διατρυφὲν ἔκπεσε χειρός.

16 Μαλακοειδὴς δέ ἐστιν, [d] ὁ λείως ἐμπίπτων ταῖς ἀκοαῖς· οἷον, (Il. ρ΄. 51.)

Αἵματί οἱ δεύοντο κόμαι Χαρίτεσσιν ὁμοῖαι.

17 Κακόφωνος δέ ἐστιν, ᾧ πολλὰ φωνήεντα πρόσεστιν· οἷον, (Od. λ΄. 127.)

Φήῃ ἀθηρηλοιγὸν ἔχειν ἀνὰ φαιδίμῳ ὤμῳ.

18 [e] Λογοειδὴς δέ ἐστιν, ὁ πεζότερος τῇ συνθέσει· οἷον,

Ἵππους δὲ ξανθὰς ἑκατὸν καὶ πεντήκοντα.

[b] ἰσόχρονος] Eustath. Il. λ΄. p. 836, 15 = 770, 32. Σημείωσαι δ᾽ ἐνταῦθα καὶ ὅτι στίχου ὁλοσπονδείου κειμένου, τοῦ, Ἀτρείδης τὼ δ᾽ αὖτ᾽ ἐκ δίφρου γουναζέσθην, τὰ τοιαῦτα ἔπη εὐτελῆ φασὶν εἶναι οἱ παλαιοὶ τῇ τῆς στιχοποιίας κατασκευῇ διὰ τὸ ὀλιγοσύλλαβον· δωδεκασύλλαβοι γὰρ ἐξ ἀνάγκης εἰσί· τούς γε μὴν ὁλοδακτύλους ἢ πολυδακτύλους μεγαλοπρεπεστέρους κρίνουσιν. Δῆλον δ᾽ ὅτι σπάνιοι παρὰ τῷ ποιητῇ εἰσὶν οἱ ὁλοσπόνδειοι, ὁποῖος καὶ ἐν Ὀδυσσείᾳ ἐκεῖνος, τὼ δ᾽ ἐν Μεσσήνῃ ξ. ἀ. Vid. et Schol. Ven. ad Il. λ΄. 130.

[c] ὁ διάνοιαν] Draco p. 141, 11. ὁ τὴν σύνταξιν πᾶσαν καὶ τὴν διάνοιαν ἔχων ἐν ἑαυτῷ.

[d] ὁ λείως] Ex Plutarcho T. ult. ed. Reisk. p. 810. fragm. Μαλακοειδής ἐστιν, ὁ ὁμαλῶς καὶ οὐ βιαίως ἐμπίπτων ταῖς ἀκοαῖς. SANTENIUS ad Terent. Maur. p. 246. ὁ καλῶς καὶ οὐ βιαίως ἀλλὰ λείως ἐ. Draco p. 141, 19.

[e] ΛΟΓΟΕΙΔΗ΄Σ] Forma pedestris illa, cujus hoc proprium est, ut neque cæsuram sibi propriam habeat, neque alia lege teneatur, quam hac, ut tolerabilis quædam species relinquatur versus heroici. Hic enim versus ab antiquis eodem modo, ut apud nostros liberiores iambi, ad illud poeseos genus adhiberi solebat, quod proximum est prosæ orationi, ab eaque pene solo metro distat. Is usus, repetendus fortasse a poëtis didacticis, etsi multi horum vere poëtarum nomine digni sunt, permanavit deinde ad leviorum argumentorum tractationem, parœmias, sillos, alia. Ejusmodi poëma fuit Archestrati, sæpissime laudatum ab Athenæo. Eoque referendi sunt etiam versus hexame-

p. 49, 6. Ἐπίχαρμος μνημονεύει] Ὁ Ἐπίχαρμος τὸ οἰκεῖον δρᾶμα οὕτως ἐκάλεσε λόγον καὶ λογίαν.

19 p. 57, 10. Εἷς ὢν τῆς Πλειάδος] Ἐπὶ τῶν χρόνων Πτολεμαίου τοῦ Φιλαδέλφου ἑπτὰ ἄριστοι γεγόνασι τραγικοὶ, οὓς Πλειάδας ἐκάλεσαν, διὰ τὸ λαμπροὺς εἶναι ἐν τῇ τραγικῇ, ὥσπερ ἄστρα τὰ ἐν τῇ Πλειάδι· εἰσὶ δὲ οὗτοι· Ὅμηρος, οὐχ ὁ ποιητὴς, ἀλλ' υἱὸς [f]Ὁμηροῦς τῆς Βυζαντίας ποιητρίδος· καὶ Σωσίθεος, καὶ Λυκόφρων, καὶ Ἀλέξανδρος, καὶ Αἰαντιάδης, καὶ Σωσιφάνης, καὶ Φιλίσκος[g].

20 p. 93, 1. Τῶν ἀωρολείων] Ἀωρόλειοι οἱ ἔξω ἤδη ὥρας λειούμενοι, τοῦτ' ἔστιν, ἐν γήρᾳ καλλωπιζόμενοι.

ΚΕΦ. ΙΒ.

ΠΕΡΙ ΤΟΥ ΕΛΕΓΕΙΟΥ.

Τὸ δὲ Ἐλεγεῖον μέτρον, τινὲς μὲν πεντάμετρον αὐτό φασιν εἶναι, συντιθέντες τὰς μὲν δύο χώρας αὐτοῦ, τὴν πρώτην καὶ τὴν δευτέραν, ἀπὸ δακτύλου καὶ σπονδείου ἀδιαφόρως, ἢ ἀμφιμάκρου, ἢ παλιμβακχείου, καθαρῶν μέντοι καὶ ἐν τάξει δακτύλων κειμένων, ὡς καὶ ἐν τῷ ἡρωϊκῷ εἴρηται· τὴν δὲ τρίτην, ἐκ σπονδείου· τὴν δὲ τετάρτην ἐξ ἀναπαίστου, [h]τὴν δὲ πέμπτην ἐξ ἀναπαίστου ἢ

tri in comœdia Græcorum, quorum exempla vide apud Aristoph. in fine Ranarum, in Eq. 197 sq. 1015 sq. 1030 sq. 1037 sq. 1051 sq. 1067 sq. 1080 sq. Pac. 118 sq. 1063—1113. Lys. 770 sq. et admixtis iambis Pac. 1270 sq. Av. 967 sq. Eodemque pertinent Horatii Epistolæ et magis etiam Sermones. HERMANN. El. D. M. p. 353. Post h. l. addit Draco p. 142, 9. Περὶ σφηκίου. Σφηκίας δέ ἐστιν ὁ εἰς δύο ἰσοσυλλάβους τομὰς τεμνόμενος, τῆς τομῆς εἰς μέρος λόγου ἀπαρτιζούσης, ὡς ἐν τῷδε· ἢ λάθετ' ἢ οὐκ ἐνόησεν, ἀάσατο δὲ μέγα θυμῷ. εἴρηται δὲ σφηκίας ἀπὸ τῆς σφηκὸς ζωϋφίου κατὰ τὸ μέσον λεπτοτάτου ὄντος.

[f] Lege Μυροῦς. PAUW. ὁ Μυροῦς υἱὸς Potter. post Præf. ad Lycophr. Suid. v. Σωσίθεος et v. Ὅμηρος Ἀνδρομ. v. Schweigh. ad Athen. p. 490 E. T. VI. p. 238.

[g] Addit S. Τινὲς ἀντὶ τοῦ Αἰαντιάδου καὶ Σωσιφάνους Διονυσιάδην καὶ Εὐφρόνιον τῇ Πλειάδι συντάττουσιν. Οὗτος δὲ ὁ Φιλίσκος οὐκ ἐφεῦρε πρῶτος τὸ τοιοῦτον μέτρον, ἀλλ' ὥς φησιν ὁ μετρικὸς πρῶτος ὅλα οἱονεὶ εἰς ὁλόκληρα ποιήματα ἐκ τούτου τοῦ μέτρου ἐποίησεν. Αὕτη δὲ ἡ χρῆσις ἣν περιφέρει αὐτοῦ οὐκ ἔστι στίχος ἀλλὰ περίοδος· ὑπερβαίνει γὰρ τὸ δυοτριακοντάσημον· ἡ δὲ Καλλιμάχου πεντάμετρος οὖσα οὐχ ὑπερβαίνει. Ἰστέον δὲ ὅτι οὐδέποτε τριακονταδύο χρόνους ὑπερβαίνει μέτρον, ἐπεὶ εἰς περίοδον ἐμπίπτει.

[h] τὴν δὲ πέμπτην ἐξ ἀναπαίστου

2 *χορείου, διὰ τὸ ἀδιάφορον τῆς τελευταίας συλλαβῆς. Βέλτιον δὲ οὕτω μετρεῖν· ἐπεὶ καὶ εἰς δύο διῄρηται πενθημιμερῆ εἰς μέρος λόγου ἀπαρτιζόμενα κατὰ τὴν τομὴν, πενθημιμερὲς δέ ἐστι τὸ ἐκ δύο ποδῶν καὶ συλλαβῆς· ἐπιδέχεται οὖν κατὰ τὴν πρώτην καὶ δευτέραν χώραν δάκτυλον καὶ σπονδεῖον ἀδιαφόρως, ἢ καὶ παλιμβάκχειον, ἢ ἀμφίμακρον, θεραπευομένους, ὡς εἴρηται· εἶτα συλλαβὴν μακρὰν ἀπαρτιζομένην εἰς μέρος λόγου· καὶ μετὰ ταύτην πάλιν ἕτερον πενθημιμερὲς ἐκ δύο δακτύλων καὶ συλλαβῆς ἀδιαφόρου, οἷον,*

Νηΐδες οἱ μούσης οὐκ ἐγένοντο, φίλοι.

τούτου γὰρ ἡ τομή ἐστιν ἐν τῷ μούσης. Ἀλλὰ τὸ μὲν πρῶτον πενθημιμερές ἐστιν ἐκ δακτύλου καὶ σπονδείου καὶ συλλαβῆς μακρᾶς, ὅπερ ἐστὶν ὅτε καὶ ἀμφοτέρους τοὺς πόδας ἐπιδέχεται δακτύλους ἢ σπονδείους, ἢ καὶ τὸν πρῶτον σπονδεῖον καὶ τὸν δεύτερον δάκτυλον· τὸ δὲ δεύτερον πενθημιμερὲς πάντως ἔχει δύο δακτύλους καὶ συλλαβὴν ἀδιάφορον.

3 *Ἰστέον ὅτι οἱ ἀρχαῖοι ἐποίουν στίχους δύο μείζους, καὶ ἕνα ἐλάττονα. Τῶν οὖν μειζόνων τὸν πρότερον στροφὴν ἐκάλουν, παρὰ τὸν βωμὸν ἐν ταῖς ἑορταῖς ᾄδοντες αὐτὸν καὶ χορεύοντες· τὸν δὲ δεύτερον ἀντίστροφον, ἐναλλάξαντες τὴν χορείαν· τὸν δὲ ἐλάττονα, [1]ἐπῳδὸν, ᾄδοντες αὐτὸν ἑστηκότες. ἐδήλου δὲ, ὥς φασι, ἡ μὲν στροφὴ τὴν τῆς ἀνωτάτω σφαίρας κίνησιν· ἡ δὲ ἀντίστροφος, τὴν τῶν πλανωμένων· ἡ δὲ ἐπῳδὸς, τὴν τῆς γῆς ἠρεμίαν.*

add. N. et sic em. Hermannus de Metris p. 233. Santen. Terent. Maur. p. 290.

[1] *ἐπῳδὸν*] Schol. Euripid. Hec. 640. *καλεῖται ἐπῳδὸς διὰ τὸ ἐπᾴδεσθαι τῇ τε στροφῇ καὶ τῇ ἀντιστροφῇ, ἤγουν μετὰ τὴν στροφὴν ᾄδεσθαι. Ἰστέον δὲ ὅτι τὴν μὲν στροφὴν κινούμενοι πρὸς τὰ δεξιὰ οἱ χορευταὶ ᾖδον, τὴν δὲ ἀντιστροφὴν πρὸς τὰ ἀριστερὰ, τὴν δὲ ἐπῳδὸν ἱστάμενοι ᾖδον, ἐδήλου δὲ, ὥς φασιν, ἡ μὲν στροφὴ τὴν οὐρανοῦ ἐκ τῶν ἑῴων πρὸς τὰ δυτικὰ μέρη κίνησιν· ἡ δὲ ἀντιστροφὴ τὴν τῶν πλανητῶν, ὡς ἀπὸ δυσμῶν πρὸς ἕω γινομένην· ἡ δὲ ἐπῳδὸς τὴν τῆς γῆς στάσιν, ἱσταμένων τῶν χορευτῶν ᾀδομένων.* Conferas cum his Schol. Pindari T. II. p. 163. Heyn.

ΕΚ ΤΩΝ

ΑΡΙΣΤΕΙΔΟΥ ΚΟΙΝΤΙΛΙΑΝΟΥ

ΠΕΡΙ

ΜΟΥΣΙΚΗΣ.

ΑΡΧΗ μὲν οὖν ἡ τῆς μετρικῆς ὁ περὶ στοιχείων λόγος· εἶθ' ὁ περὶ συλλαβῶν· εἶθ' ὁ περὶ ποδῶν· εἶθ' οὕτως ὁ περὶ τῶν μέτρων· τελευταῖος δὲ ὁ περὶ ποιήματος, πρὸς ἔνδειξιν τοῦ σκοποῦ τῆς μετρικῆς παρατιθέμενος.

2 Στοιχεῖον μὲν οὖν ἐστὶ φωνῆς ἐνάρθρου μέρος ἐλάχιστον. Τῶν δὲ στοιχείων τὰ μὲν τορὸν καὶ ἐξάκουστον προϊέντα τὸν ἦχον, φωνήεντα λέγεται· τὰ δὲ ἀμυδρῶς τῆς ἀκοῆς καθικνούμενα, ἡμίφωνα· τὰ δὲ μικρὸν καὶ ἀμαυρὸν ἠχοῦντα παντάπασιν ἄφωνα, [a]οἷον ὀλιγόφωνα,
3 προσαγορεύεται. Τῶν μὲν οὖν φωνηέντων τὰ μὲν ἐλα- p. 44 ed. Meib.
χίστῳ χρόνῳ προενεχθῆναι δυνάμενα, βραχέα λέγεται· τὰ δ' ἐξ ἀνάγκης μείζονι, μακρά· τὰ δ' ἐπαμφοτερίζοντα τῷ χρόνῳ, καλεῖται δίχρονα. Τῶν δ' ἡμιφώνων τὰ μὲν δύο συμφώνοις ἐν τοῖς μέτροις ἰσοδυναμοῦντα λέγεται διπλᾶ· τὰ δὲ ἔλαττον ἑνὸς συμφώνου δυνάμενα κατὰ συμπλοκάς, ὑγρὰ καλεῖται· τὰ δὲ μηδετέρας τούτων

[a] Verba *οἷον ὀλιγόφωνα* desunt MS. Magd. Meibomius citat Martianum Capellam lib. iii. *Mutæ ideo hoc nomine nuncupantur quoniam nisi illis vocales associatæ succurrerint, intra oris sonitum ante auspicia moriuntur.*

*κοινωνοῦντα διαφορᾶς, ἰδιαζόντων μέντοι γε ἀφώνων, τὰ
μὲν ἐπιπολῆς κινοῦντα τὸ πνεῦμα, ψιλά· τὰ δὲ ἔνδοθεν
μετὰ σφοδρότητος ἐξάγοντα, δασέα· τὰ δὲ μεταξὺ ποι-
οῦντα, μέσα προσαγορεύεται.*
4 *Τούτων συντιθεμένων γίνονται συλλαβαὶ, ταῖς τῶν
φωνηέντων διαφοραῖς, ὧν ἐπέχουσιν, ὁμώνυμοι. Καὶ
αἱ μὲν ἐξ ἑνὸς ἔχουσι τὰς δυνάμεις· αἱ δὲ ἐκ πλειόνων.
Καὶ τούτων αἱ μὲν ἐκ φωνηέντων, ὡς αἱ δίφθογγοι, ἃς
ἤτοι κατὰ κρᾶσιν, ἢ κατὰ συμπλοκὴν,*[b] *κατ' ἐπικράτειαν
γίνεσθαι φαμέν· αἱ δὲ καὶ διὰ συμφώνων, ὡς αἱ θέσεις*
5 *σχηματιζόμεναι. Αἱ μὲν οὖν μακρὸν ἔχουσαι* [c]*στοι-
χεῖον, ἢ δίχρονον ἐκτεινόμενον, ἢ* [d]*βραχὺ στοιχεῖον δι-
χρόνῳ συμπλακὲν, ἢ δίχρονα δύο ἀλλήλοις συμπλακέντα,
καλοῦνται μακραί· αἱ δὲ βραχὺ φωνῆεν, ἢ δίχρονον
συστελλόμενον, ἤτοι καθ' αὑτὸ, ἢ μετὰ ἁπλοῦ συμφώ-*
6 *νου, βραχεῖαι λέγονται. Καὶ αὗται μὲν φυσικαὶ τῶν* p. 45
*συλλαβῶν διαφοραί. Γίνονται δέ τινες καὶ κατὰ πρόσ-
θεσιν τῶν συμφώνων μακραὶ συλλαβαί· ἤτοι διὰ τὴν
ἰδίαν θέσιν προσλαβοῦσαι μῆκος, ὡς ἡ εἰς δύο σύμφωνα
λήγουσα ἢ εἰς ἓν διπλοῦν· ἢ ἀπὸ τῶν ἑξῆς, ὡς ἡ
ἔχουσα δύο σύμφωνα ἐπιφερόμενα, ἢ ἓν διπλοῦν· ἢ ἀπ'
ἀμφοτέρων, ὡς ἡ λήγουσά τε εἰς ἁπλοῦν, ἔχουσά τε*
7 *ἐπιφερόμενον ἁπλοῦν. Τούτων οὖν οὕτως ἐχόντων δέ-
δεικται τὰ μεγέθη τῶν στοιχείων τοῖς διαστήμασιν ἰσά-
ριθμα τοῦ τόνου. Τὸ μὲν γὰρ ἐλάχιστον αὐτῶν τοῦ
μεγίστου τεταρτημόριόν ἐστιν, ὡς ἡ δίεσις τοῦ τόνου·
τὸ δὲ μέσον, ἥμισυ μὲν τοῦ μείζονος, διπλάσιον δὲ τοῦ*

[b] *ἢ κατ' ἐπικρ.* legendum censeo. MEIBOM.

[c] Pro *στοιχεῖον* hic et infr. mallem *φωνῆεν*. MEIBOM.

[d] Ut syllaba *ει* in *εἶδος*, syllaba *οι* in *οἶκος*, sic *εὖρος*, *οὖρος*. Sequentis versus exempla sunt, *αι*, *αυ*, *υι*, in nominibus *αἷμα*, *αὖλαξ*, *ἅρπυια*. Hos duos versus uno vocabulo comprehendere potuisset, scribendo, *ἢ δίφθογγον*. MEIBOM.

ἐλάσσονος. Τῆς μὲν γὰρ μακρᾶς ἡμίσεια ἡ βραχεῖα·
8 τῆς δὲ βραχείας, ἁπλοῦν σύμφωνον. Δῆλον δὲ ἐκ τοῦ
τὴν βραχεῖαν ἢ διπλοῦ συμφώνου παρατεθέντος, ἢ ἑνὸς
φωνήεντος, γενέσθαι μακράν. Ἔτι τῶν συλλαβῶν αἱ
μὲν οἷαι καθ' ἑαυτὰς θεωροῦνται, τοιαῦται κἀν ταῖς
παραθέσεσι τῶν ἑπομένων φαίνονται· αἱ δὲ μεταβάλ-
λουσαι, ὡς ἔκ τε τῶν θέσει μακρῶν, κἀκ τῶν κοινῶν
9 ἐστὶ συνιδεῖν. Ἐκ γοῦν τῶν εἰρημένων διαφορῶν ἐν
ταῖς συλλαβαῖς διαφοραὶ συνίστανται τῶν λεγομένων
κοινῶν ἢ μέσων ἐν τοῖς ποσί. Μέσαι μὲν οὖν εἴρηνται
καὶ κοιναὶ, διὰ τὸ ποτὲ μὲν βραχείας, ποτὲ δὲ μακρὰς
ἐκπληροῦν χρείας. Τούτων δὲ αἱ μὲν ἀπὸ τῶν φύσει
μακρῶν λαμβάνονται, ὅταν εἰς φωνῆεν μακρὸν λήγῃ
10 συλλαβὴ, τῆς ἑξῆς ἀπὸ φωνήεντος ἀρχομένης· τῷ γὰρ p. 46
οὐκ ἔχειν μεταξὺ σύμφωνον τὸ συνάπτον αὐτὰς, κεχη-
νότας ἀπεργαζόμεναι τοὺς ἤχους, τὴν τῆς φωνῆς δια-
λύουσιν εὐτονίαν, ἥ τε ἡμετέρα σπουδὴ τοῦ τὴν δευτέραν
ἐπιλαβεῖν διὰ τὴν τῆς φωνῆς συνέχειαν, πρὶν ἐντελῆ
[e] προενέγκασθαι τὴν προτέραν, τῆς τοῦ καθηγουμένου
11 τόνου μακρότητος ἀποτέμνεται· αἱ δ' ἀπὸ τῶν φύσει
βραχειῶν, ὅταν εἰς μέρος λόγου συλλαβὴ λήγῃ· ἡ γὰρ
μεταξὺ διάστασις τῆς τοῦ προτέρου τελευτῆς καὶ τῆς
ἀρχῆς τοῦ δευτέρου μῆκος [f] τῇ συλλαβῇ παρέχεται·
12 αἱ δὲ ἀπὸ τῶν θέσει μακρῶν, ὅτε δυοῖν ἐπιφερομένοιν
συμφώνοιν, τὸ μὲν ἄφωνόν ἐστι, τὸ δὲ, ὑγρόν· ὑπὸ γὰρ
τοῦ καθηγουμένου τῆς συμπλοκῆς στοιχείου, παχυφωνο-
τέρου τυγχάνοντος, [g] ὁ τοῦ δευτέρου λεπτότερος ὢν ἐκ-
13 θλίβεταί τε καὶ πιέζεται. Πάλιν τούτων τινὲς ἀπὸ μὲν

[e] προσενέγκασθαι] Melius puto προενέγκασθαι. MEIBOM.

[f] τῆς συλλαβῆς] τῇ συλλαβῇ MSS. Ox. Melius. MEIBOM.

[g] Videtur subaudiendum esse ἦχος, licet non præcesserit. Alias bene foret, τὸ τοῦ δευτέρου λεπτότερον ὄν. MEIBOM.

τῶν φύσει μακρῶν ἧττον κοιναὶ γίνονται, ὅταν ἡ φωνη-
έντων πάσχουσα συλλαβὴ σύγκρουσιν εἰς μέρος λόγου
τε λήγῃ, καὶ διὰ [h] φθόγγων γίνηται τῶν κατὰ συμπλο-
κὴν, λέγω δὲ τῶν δι' αὐτῶν συντιθεμένων· [i] εὐτονωτέρους
γὰρ [k] αὗται ποιοῦνται τοὺς ἤχους, ἀμφότερα φανερῶς
14 ἐκβοῶσαι τὰ φωνήεντα. [l] Ἀπὸ δὲ τῶν βραχειῶν, ὅταν
μὲν εἰς μέρος λόγου λήγουσα συλλαβὴ φωνηέντων
πάσχῃ σύγκρουσιν λίαν ἀσθενής· μῆκος δὲ προσλαμ-
βάνουσα πλέον ἢ κατὰ κοινὴν, τὸ ἀρκτικὸν τῆς μετ'
15 αὐτὴν συλλαβῆς στοιχεῖον συμβαίη δασύνεσθαι. Αἱ
δ' ἀπὸ τῶν θέσει μακρῶν, ὅτε [m] καθηγησαμένου κατ' p. 47
ἐπιφορὰν ἀφώνου [n] τὸ μ̄ τῶν ἀμεταβόλων συμπλέκεται.
Τῶν γὰρ λοιπῶν ὑγρῶν κατὰ πρόεσιν πνεύματος ἐκ-
φωνουμένων, τοῦτο μόνον ἐμφράττοντες [o] ἡμῶν τοὺς
16 πόρους ἐκφωνεῖν βιαζόμεθα. Κατὰ γοῦν τὸν αὐτὸν
καιρὸν ἐναντιοπαθοῦν τὸ φωνητικὸν ὄργανον οὐκ ἀπει-
κότως [p] κολούει τὴν τῆς φωνῆς ὁμαλότητα. Τοιγαροῦν
κἂν [q] ἀμετάβολον αὐτῷ συμπλέξωμεν, ἀμφότερά τε τρα-
νῶς ἐθέλοιμεν ἐκφωνεῖν, οὐκέτι κοινὴν, θέσει δὲ μακρὰν
17 τὴν συλλαβὴν ποιησόμεθα. Ἀμέλει καὶ τῶν ἀρχαίων
τινὲς, βουληθέντες τὴν προκειμένην τούτῳ βραχεῖαν πολ-
λαχοῦ ποιεῖν, τὸν μὲν τοῦ μ̄ παρατρέχουσι φθόγγον,
18 τὸν δὲ τοῦ ν̄ μόνον ἐξάκουστον ἀποστέλλουσι. Χρὴ δὲ

[h] φθόγγων] Scribendum censeo φωνηέντων. Certe per sonos intelligere debemus vocales. Sunt autem φωνήεντα κατὰ συμπλοκὴν vocales per connexionem, ex quibus diphthongus fieri potest, ut αι, αυ, ει, ου. MEIBOM.

[i] Pro εὐτονωτέρους leg. εὐφωνοτέρους. MEIBOM.

[k] οὕτως] Leg. e MSS. αὗται sc. συλλαβαί. MEIBOM.

[l] ἀπὸ δὲ τῶν βραχειῶν] Mallem ut supra φύσει βραχειῶν ἧττον κοιναὶ γίνονται. MEIBOM.

[m] Forsan melius καθη. ἀφώνου κατ' ἐπιφ. τὸ μ̄. MEIBOM.

[n] τὸ μ̄] Idem sensit Heliodorus apud Hephæstionem p. 7 = 14. Immerito illum reprehendit Hephæstio. MEIBOM.

[o] Quid si χειλῶν τοὺς πόρους, labiorum vias? MEIBOM.

[p] κολούει] κωλύει MSS.

[q] Per ἀμετάβολον intelligitur ἡμίφωνον. Idem docet Hephæstio p. 5. MEIBOM.

*κἀκεῖνο θεωρεῖν, ὡς εἰ μὲν μόνην τὴν συλλαβὴν ἐθέλοι-
μεν [r]κινεῖν, ἐκ τῶν ἑαυτῆς στοιχείων τὸ μέγεθος αὐτῆς
ἡμῖν ἐπιγνωστέον· εἰ δὲ ἐν ποδικῷ σχήματι, καὶ τὴν
ἑξῆς προσληπτέον πρὸς ἐντελῆ γνῶσιν τῆς τοῦ ποδὸς
19 ἐπισκέψεως. Αὐτίκα παντὸς μέτρου τὴν τελευταίαν
ἀδιάφορον ἀποφαινόμεθα, μηδεμιᾶς αὐτῇ συλλαβῆς ἐπι-
φερομένης, δι' ἧς ἀφωρισμένως ἑνὸς μεγέθους αὐτὴν ἂν
εἰπεῖν [s]προσήκοι.*

20 *Τούτων δὴ συντιθεμένων ἀλλήλαις γίνονται πόδες·
παρὸ καὶ συστήματα συλλαβῶν [t]εἴρηνται. Δύο μὲν
οὖν συντεθεῖσαι γίνονται τέσσαρες· ἢ γὰρ ἄμφω βρα-
χείας ἔχων γίνεται πυρρίχιος, ὁ καὶ παρίαμβος· ἢ μακρὰς,* p. 48
*σπονδεῖος· ἢ βραχεῖαν καθηγουμένην, ἑπομένην δὲ μα-
21 κρὰν, ἴαμβος· ἢ ἐναντίως, τροχαῖος. Τριῶν δὲ συγκει-
μένων, ὀκτώ· ἢ γὰρ τὰς τρεῖς βραχείας [u]ἔχει, καὶ ποιεῖ
χορεῖον· ἢ τὰς τρεῖς μακρὰς, καὶ ποιεῖ μολοσσὸν, ἀπὸ
ἔθνους οὕτω προσαγορευόμενον· ἢ μίαν μακρὰν, τὰς δὲ
λοιπὰς βραχείας κατὰ τὰς τρεῖς χώρας, καὶ ποιεῖ δάκτυ-
λον, ἀμφίβραχυν, ἀνάπαιστον· ἢ μίαν βραχεῖαν καὶ δύο
μακρὰς ἀμοιβαδὶς, καὶ γίνεται βακχεῖος, ἀμφίμακρος,
22 παλιμβακχεῖος. Τεσσάρων δὲ συλλαβῶν ἐκτεθεισῶν
γίνονται πόδες δέκα ἓξ, οὓς δυνατὸν διὰ τῶν ὁμοίων
θεωρεῖν μεθόδων· ἢ γὰρ τέσσαρας ἔχων βραχείας κα-
λεῖται προκελευσματικὸς, ἢ τέσσαρας μακρὰς, δισπον-
δεῖος· ἢ δύο βραχείας ἡγουμένας ἔχων, δύο δὲ μακρὰς
ἑπομένας, ἰωνικὸς ἀπ' ἐλάσσονος· ἢ ἐναντίως ἐσχημα-
τισμένος, ἀπὸ μείζονος· ἢ περιεχούσας ἔχων τὰς μα-*

[r] *κινεῖν*] Puto legendum *ἰδεῖν* vel *κατιδεῖν*. MEIBOM.

[s] *προσήκοι*] *προσήκει* ed. Meib.

[t] *εἴρηται*] Mallem *εἴρηνται*, sc. *οἱ πόδες*. Ibidem O. *συντεθεῖσαι*. pro quo omnino leg. *συντεθεισῶν*, ut p. 48. MEIBOM.

[u] *ἔχει*] Aliquid deesse videtur: vel oratio est *ἀνακόλουθος*. Quo enim respicit verbum *ἔχει*? Restituerim non *ὁ πούς*, sed *ἡ λέξις*. MEIBOM.

κρὰς, ἐν μέσῳ δὲ τὰς βραχείας, χορίαμβος· ἢ ἐναντίως ἔχων, ἀντίσπαστος· ἢ τὰς μὲν μακρὰς ἐν περιτταῖς ἔχων χώραις, τὰς δὲ βραχείας ἐν ταῖς ἀρτίοις, διτρόχαιος· ἢ ἐναντίως ἔχων, διΐαμβος· ἢ μίαν μὲν μακρὰν ἔχων, τὰς δὲ λοιπὰς βραχείας, παίωνας ποιεῖ τέσσαρας, ἀπὸ τοῦ τόπου τῆς μακρᾶς τὴν ὀνομασίαν λαμβάνοντας· τὸν μὲν [x] οὖν πρώτην ἔχοντα, πρῶτον· τὸν δὲ
23 *δευτέραν, δεύτερον, καὶ τὰς ἑξῆς ἀνάλογον. Εἰ δὲ μίαν μὲν ἔχει βραχεῖαν, τὰς δὲ λοιπὰς μακρὰς, τοὺς ἐπιτρί-* p. 49
τους ἀποτελεῖ, ἀπὸ τῆς χώρας, ἐν ᾗ τίθεμεν τὴν βραχεῖαν, κατὰ ταυτὰ τοῖς παίωσι τὴν ὀνομασίαν λαμβάνοντας. Ἐπίτριτον δὲ καλεῖται τὸ σχῆμα, ἐπεὶ συνέστηκεν ἐκ ποδῶν λόγον ἐχόντων ἐπίτριτον, ὃν ἔχει τέσσαρα πρὸς τρία. Ὁ μὲν γὰρ τῶν δισυλλάβων ἐν
24 *αὐτῷ τρίσημος· ὁ δὲ τετράσημος. Τούτων πάλιν συντιθεμένων γίνονται πόδες, δισυλλάβων μὲν καὶ τρισυλλάβων πεντασύλλαβοι [y] λβ· τῶν δὲ τρισυλλάβων ἀλλήλοις παρατιθεμένων, ἑξασύλλαβοι ἑξηκοντατέσσαρες, οὓς καὶ μετρικὰς προσαγορεύουσι συζυγίας. Μέχρι γὰρ ἑξάδος ηὐξήθη συλλαβή τε καὶ πους καὶ μέτρον, διὰ τὴν τοῦ ἀριθμοῦ τελειότητα, καὶ τῷ περιέχεσθαι πάντας ἐν αὐτῷ τοὺς τῆς [z] συμφωνίας λόγους.*

25 *Ἐκ δὴ τῶν ποδῶν συνίσταται τὰ μέτρα. Μέτρον μὲν οὖν ἐστὶ σύστημα ποδῶν ἐξ ἀνομοίων συλλαβῶν*

[x] *οὖν* MSS. deinde *καὶ τοὺς ἑξῆς* sc. *παίωνας*. MEIBOM.

[y] *λβ*. Quum enim quatuor sint pedes disyllabi et octo trisyllabi, iis inter se multiplicatis 32 pedes quinum syllabarum consurgunt. Atque hoc liquebit, si singulis disyllaborum octo trisyllabi addantur. Eodem modo singulis trisyllaborum ad octo trisyllabos additis, habebuntur hexasyllabi pedes 64. MEIBOM.

[z] *συμφωνίας λόγους*] Hoc de numero consonantium intelligendum, quarum sex cum Aristoxeno plerique omnes Harmonici statuebant, recepta in illarum numerum, contra Pythagoricorum sententiam, dia pason et dia tessaron consonantia. MEIBOM.

συγκείμενον, ἐπὶ μῆκος σύμμετρον. Διαφέρειν δὲ τοῦ
ῥυθμοῦ φασὶν, οἱ μὲν, ὡς μέρος ὅλου· τομὴν γὰρ ῥυθ-
μοῦ φασὶν αὐτὸ, παρὸ καὶ μέτρον εἰρῆσθαι διὰ τὸ
26 μείρειν, ὃ σημαίνει μερίζειν· οἱ δὲ κατὰ τὴν ὕλην. Τῶν
γὰρ γινομένων ἐκ δυοῖν ἀνομοίων τοὐλάχιστον [a]γεννώ-
μενον, τὸν μὲν ῥυθμὸν ἐν ἄρσει καὶ θέσει τὴν οὐσίαν
ἔχειν, τὸ δὲ μέτρον ἐν συλλαβαῖς καὶ τῇ τούτων ἀνο-
μοιότητι. Ταύτῃ τοι ῥυθμὸν μὲν συνίστασθαι καὶ διὰ p. 50
τῶν ὁμοίων συλλαβῶν καὶ διὰ τῶν ἀντιθέτων ποδῶν·
μέτρον δὲ διὰ μὲν τῶν πάσας ὁμοίας [b]ἐχόντων μηδεπώ-
27 ποτε, διὰ δὲ τῶν ἀντιθέτων ὀλιγάκις. Τῶν δὴ μέτρων
πρωτότυπα μέν ἐστι καὶ ἁπλᾶ τὸν ἀριθμὸν ἐννέα· δακ-
τυλικὸν, ἀναπαιστικὸν, ἰαμβικὸν, τροχαϊκὸν, χοριαμβι-
κὸν, ἀντισπαστικὸν, ἰωνικὰ δύο, παιωνικόν. Τούτων
τὰ μὲν ἄλλα μέχρι τεσσάρων ποδῶν εὐπρεπῶς ηὔξηται·
τὸ δὲ δακτυλικὸν, ὅτε καταληκτικὸν γίνεται, μέχρι ϛʹ.
28 [c]Τὸ μὲν γὰρ καθ' ἕνα βαίνεται πόδα, καὶ προχωρεῖ
σύνεγγυς κδʹ χρόνων, ἰσαρίθμων ταῖς ἐν τῷ διὰ πα-
σῶν διέσεσι· τὰ δὲ, κατὰ [d]διποδίαν ἢ συζυγίαν καὶ
προχω(ρεῖ μέχρι . . .) ων χρόνων, ἢ ὀλίγῳ πλει-
όνων, ὅθεν τινὲς τὰ ὑπερβαίνοντα τὸ προειρημένον
τῶν χρόνων πλῆθος διαιροῦντες εἰς δύο σύνθετα προσ-
29 ηγόρευσαν. Τῶν δὲ μέτρων τὰ μὲν ἀκατάληκτα κα-
λεῖται, ὅσα ταῖς ἐνούσαις συλλαβαῖς συναπαρτίζει
τοὺς πόδας· ἃ δὲ καταληκτικὰ, ὅσα συλλαβὴν ἀφαιρεῖ
τοῦ τελευταίου ποδὸς, σεμνότητος ἕνεκεν τῆς μακροτέ-

[a] γεννώμενον] Cod. Scal. γεννωμένων. Oxon. γενωμένων. Melius scriberetur γενόμενον. MEIBOM.

[b] Bene Cod. Magd. ἐχόντων ποδῶν μηδὲ πώποτε. Sed ultimum melius conjunctim. MEIBOM.

[c] Τὸ μὲν] Scribo τὰ μέν. MEIBOM.

[d] διποδίαν ἢ βαίνοντα] Codd. Ox. διποδίαν ἢ συζυγίαν καὶ προχώρων χρόνων, ἢ ὀλίγῳ πλειόνων. ὅθεν τινὲς τὰ ὑπερβαίνοντα τὸ προειρημένον. Doctiss. Langbainius hic in marg. προχωρεῖ μέχρι . . . . ων χρόνων. Aliquid enim deesse nemo non videt. Scribo μέχρι τῶν αὐτῶν χρόνων, ἤ. MEIBOM.

*ρας καταλήξεως· τὰ δὲ βραχυκατάληκτα, οἷς ποὺς
δισύλλαβος ἐλλείπει· τὰ δ' ὑπερκατάληκτα, ἐν οἷς μία
συλλαβὴ περισσεύει. Εἰ γὰρ ποὺς πλεονάζει, ταυτὸν
γίνεται τῷ βραχυκαταλήκτῳ. Καὶ μὴν ἃ μὲν αὐτῶν
30 ἐστὶ δίμετρα, ἃ δὲ τρίμετρα, ἃ δὲ τετράμετρα, ἕως ἕξ.
Ἔτι τὰ μὲν διὰ μόνων τῶν ἰσοχρόνων γίνεται ποδῶν·
τὰ δὲ, διὰ πλεοναζόντων τοῖς χρόνοις. Καὶ τὰ μὲν
δέχεται τοὺς ἰσοχρονοῦντας, εἰ δύναιτο τὴν αὐτῶν δια-
τηρεῖν φύσιν· τὰ δ' οὐχὶ, ὅσα διὰ ταύτην τὴν αἰτίαν εἰς
ἑτέρου μέτρου φαντασίαν περιΐσταται. Πάλιν τὰ μὲν
31 αὐτῶν ἐξ ὁλοκλήρων ἄρχεται τῶν ποδῶν, ὧν τὰς ἐπωνυ- p. 51
μίας ἔχει· τὰ δὲ ἐξ ἐλαττόνων, ὡς τὰ λογαοιδικά. Καὶ
τὰ μὲν ποιεῖται συνεκφωνήσεις συλλαβῶν, χρείας ἕνεκεν
32 μέτρου· τὰ δὲ οὐχί. [e] Συνεκφώνησις δέ ἐστιν, ὅτε διὰ
τὴν τοῦ ποδὸς συμμετρίαν, δύο συλλαβὰς σύμφωνον
οὐκ ἐχούσας μεταξὺ, ἤτοι δύο βραχείας, ἀντὶ μιᾶς βρα-
χείας, ἢ βραχεῖαν καὶ κοινὴν ἀντὶ κοινῆς, ὅπερ γίνεται
σπανίως, πάλιν δύο βραχείας, ἢ βραχεῖαν καὶ μακρὰν, ἢ
κοινὴν καὶ μακρὰν ἀντὶ μακρᾶς παραλαμβάνομεν.*

*Εἴπωμεν δὴ βραχέα περὶ ἑκάστου, ποιησάμενοι τὴν
33 ἀρχὴν ἀπὸ τοῦ δακτυλικοῦ· σεμνότερον γὰρ ἁπάντων,
διὰ τὸ τὴν μακρὰν ἀεί ποτε καθηγουμένην ἔχειν. Τὸ
δὴ* ΔΑΚΤΥΛΙΚΟΝ *ἐπιδέχεται δάκτυλον, [f] καὶ σπονδεῖον, ὡς
ἰσόχρονον· προκελευσματικὸν δὲ οὐδαμῶς· ἀπρεπὴς γὰρ
διὰ τὸ τῶν βραχειῶν πλῆθος. Ἄρχεται δὲ ἀπὸ διμέ-
34 τρου, καὶ πρόεισιν ἕως ἑξαμέτρου, ὁτὲ μὲν ἀκατάληκτον,
ὁτὲ δὲ καταληκτικὸν, ἡνίκα καὶ τοῦ τροχαίου κατὰ τέλος*

[e] De hac figura videri quoque potest Hephæstio. Primum autem illius modum, qui est cum duæ longæ pro una longa adsumuntur, non habet Aristides: potest tamen, secundum Hephæstionis exempla, ad illum referri, quo brevem et longam pro longa adsumimus. MEIBOM.

[f] *σπονδεῖον*] *καὶ σπ.* Hermannus El. D. M. p. 318. qui mox *ἀπρεπὴς* pro *ἀπρεπὲς*, et *βραχειῶν* pro *βραχέων*.

*δεκτικὸν γινόμενον, ἡρῷον καλεῖται. Μόνον δὲ τὸ ἑξά-
μετρον ταύτης τυγχάνει τῆς προσηγορίας, σεμνότερον
γὰρ γίνεται διά τε τὸ μέγεθος, καὶ διὰ τὸ συλλαβὴν
μὲν κατάρχειν αὐτοῦ μακρὰν, λήγειν δὲ εἰς κατάληξιν*
35 *εὐμεγέθους διαστήματος. Τομαὶ δὲ εὐπρεπεῖς αὐτοῦ,
πρώτη μὲν ἡ μετὰ δύο πόδας εἰς συλλαβὴν, ἣ καὶ
διπλασιαζομένη ποιεῖ τὸ ἐλέγειον· οὗ πέφυκεν ἀρετὴ τὸ* p. 52
*τὴν μὲν τῆς προτέρας συζυγίας συλλαβὴν περιττὴν ἐξ
ἀνάγκης μακρὰν ἔχειν, τὴν δὲ δευτέραν συζυγίαν ἀναμ-
φιβόλως ἐξ ἀμφοῖν συγκεῖσθαι δακτύλων· δευτέρα, ἡ
μετὰ* [g] *δύο πόδας· τρίτη δὲ, ἡ μετὰ τρεῖς εἰς συλλα-
βήν· τετάρτη κατ' ἐνίους,* [h] *τέσσαρες δάκτυλοι· ἢ, ὅπερ
ἄμεινον,* [i] *τέταρτος τροχαῖος· ἡ γὰρ εἰς ὅμοια μέρη*
36 *διαίρεσις μᾶλλον ἢ τομὴ καλεῖται.* [k] *Τομὴ δέ ἐστι
μόριον μέτρου* [l] *τὸ πρῶτον ἐν αὐτῷ λόγον ἀπαρτίζον,
ὑπὲρ δύο πόδας εἰς ἀνόμοια μέρη διαιροῦν τὸ μέτρον.*
37 *Τοῦ δὲ γενικοῦ δακτυλικοῦ πεποιήκασιν οἱ* [m] *μετὰ ταῦτα
εἴδη, δίμετρον, τρίμετρον, τετράμετρον, πεντάμετρον·
παραβαίνουσι δέ τινες αὐτὸ, καὶ κατὰ συζυγίαν ποιοῦν-
τες τετράμετρα καταληκτικά. Τινὲς δὲ κἂν ταῖς πρώ-
ταις χώραις μόναις ἀμείβοντες τὸν δάκτυλον, καὶ τοὺς
ἀνισοχρόνους* [n] *αὐτῶν δισυλλάβων τίθενται, ποιοῦσι τὰ
καλούμενα λογαοιδικά.*

[g] *δύο πόδας*] Plane addendum *εἰς δισύλλαβον*. MEIBOM.

[h] *τέσσαρες δάκτυλοι*] *τέταρτος δάκτυλος* Santen. Terent. Maur. p. 255.

[i] *τέταρτος τροχαῖος*] Hoc est, dactylicum tetrametrum, in disyllabum desinens, quo primus usus est in Epodis Archilochus, ut scribit Hephæstio. MEIBOM.

[k] *Τομὴ*] Draco p. 126. *τομὴ δὲ μέτρου ἐστὶν εὐπρεπὴς ἀπαρτισμὸς λέξεων ἐν μέσῳ στίχων ἀνανεούμενος, καὶ μάλιστα ἐν τῷ ἡρωϊκῷ μέτρῳ. Τομαὶ δέ εἰσι στίχων πέντε· πενθημιμερὴς, ἑφθημιμερὴς, τρίτη τροχαϊκὴ, τετάρτη τροχαικὴ, καὶ βουκολική.*

[l] *τὸ πρῶτον ἐν αὐτῷ λόγον*] *τὸ μόριον ἐν αὐτῷ λόγου* Santen. Terent. Maur. p. 257.

[m] *μετὰ*] *μὲν* Santenius.

[n] *αὐτῶν δισυλλάβων τίθενται*] *αὐ-*

38 Τὸ δ' ἀντίστροφον τούτῳ τὸ ἀναπαιστικὸν δέχεται
πόδας, δάκτυλον, (σεμνότερον γὰρ ὑπ' αὐτοῦ γίνεται,)
καὶ τὸν ἰσόχρονον σπονδεῖον, καὶ τὸν προκελευσματικόν.
Καὶ ἄρχεται μὲν ἀπὸ διμέτρου καὶ προχωρεῖ μέχρι
τετραμέτρου. Καὶ ὅτε μέν ἐστιν ἁπλοῦν καθ' ἕνα πόδα
γίνεται· ὅτε δὲ σύνθετον, δι' ἣν προείπομεν αἰτίαν, κατὰ
39 συζυγίαν ἢ διποδίαν. Διποδία δ' ἐστὶ ποὺς τετρασύλ-
λαβος· τί δ' ἡ συζυγία προειρήκαμεν. Καὶ τὰ εἴδη δὲ p. 53
τῶν καταλήξεων ἐπιδέχεται πασῶν, καὶ τὴν τῶν λογα-
οιδικῶν μέθοδόν τε καὶ χρῆσιν· οὐ κατὰ τὰς πρώτας
χώρας μόνον πόδας δισυλλάβους βραχυσημοτέρους πα-
ραλαμβάνον, ἀλλὰ καὶ κατὰ τὰς τελευταίας τὸν βακ-
χεῖον.

40 Τὸ δὲ ἰαμβικὸν δέχεται δάκτυλον, τρίβραχυν, ἀνά-
παιστον· τροχαῖον δὲ οὐδ' ὅλως· εἰς ἕτερον γὰρ τρα-
πήσεται μέτρον. Σπονδεῖον δὲ δέχεται μὲν ἐν ταῖς
περιτταῖς, ἐν δὲ ταῖς ἀρτίοις οὐδαμῶς· ὁ γὰρ χωρί-
σας αὐτὸ τῆς πρὸς τὸ δακτυλικὸν ὁμοιότητος, ὁ κατὰ
τὴν ἄρτιον χώραν ἴαμβός ἐστι· διὸ καὶ τοὺς ἰσοχρό-
νους τῷ σπονδείῳ λίαν σπανίως καὶ κατὰ τὰς [n]περιττὰς
41 παραλαμβάνει. Δέχεται δὲ ἐπὶ τελευτῆς ἐν τοῖς ἀκατα-
λήκτοις καὶ πυρρίχιον· σπονδεῖον δὲ, ὅτε τὸ καλούμενον
[o]χῶλον γίνεται· ἐν δὲ τοῖς καταληκτικοῖς, ἀμφίβραχυν,
ἢ βακχεῖον διὰ [p]τὴν ἀδιάφορον. Ἀρξάμενον δὲ ἀπὸ
42 διμέτρου προχωρεῖ μέχρι τετραμέτρου. Καὶ βαίνεται
κατὰ διποδίαν. Ἐπιδέχεται δὲ [q]καὶ τὰ τῶν καταλήξεων
εἴδη πάντα καὶ τομὰς εὐπρεπεῖς· τήν τε μετὰ δύο πόδας

τῷ τῶν δισυλλάβων τιθέντες Hermannus Elem. D. M. p. 361.

n Vox e MSS. addita.

o Sic emendavit Meibomius. O. κῶλον.

p τὴν ἀδιάφορον] Sic recte Meibomius. O. τινὰ διάφορον.

q καὶ τὰ τῶν] Sic MSS. In ed. κατὰ τῶν.

εἰς συλλαβὴν, ἣ πενθημιμερὴς καλεῖται, καὶ τὴν μετὰ
τρεῖς, ἥτις ἑφθημιμερὴς ὠνόμασται.
43 Τὸ δὲ ἀντικείμενον τούτῳ ΤΡΟΧΑΙΚῸΝ δέχεται τρί-
βραχυν, δάκτυλον, ἀνάπαιστον· σπονδεῖον δὲ ἐν ταῖς
ἀρτίοις μόναις, διά τε τὰς ἐπὶ τοῦ [s]ἰάμβου προρρηθείσας
ἡμῖν αἰτίας, καὶ ὅτι ἐφεξῆς πολλῶν κειμένων μακρῶν ἡ p. 54
τῆς φωνῆς συνέχεια τοῖς ἐπαλλήλοις μεγέθεσι τῶν συλ-
λαβῶν διακόπτεται· εἰ δὲ εἴη καταληκτικὸν, καὶ ἀμφί-
44 μακρον ἢ δάκτυλον. Καὶ ἄρχεται μὲν ἀπὸ διμέτρου,
πρόεισι δὲ ἄχρι τετραμέτρου. Γίνεται δὲ καὶ χωλὸν
ὅτάν τις ἐν τῇ τελευταίᾳ τῶν περιττῶν χώρᾳ σπονδεῖος
ἐμπέσῃ. Χαριεστέρα δ' αὐτοῦ τομὴ εἰς [r]τρεῖς τροχαίους·
ἐπιδέχεται δὲ καὶ τὰς ἄλλας.
45 Τὰ δὲ ἐκ τούτων συγκείμενα χοριαμβικόν τέ ἐστι καὶ
ἀντισπαστικόν. Τὸ μὲν οὖν ΧΟΡΙΑΜΒΙΚῸΝ ἐπιδέχεται
διποδίαν ἰαμβικὴν καθαρὰν, καὶ τὴν ἑπτάσημον σπανίως
[t]συζυγίαν, καὶ τὴν ἰσόχρονον αὐτῷ. Ἄρχεται δὲ ἀπὸ
διμέτρου, καὶ πρόεισιν ἕως τετραμέτρου, ὅτε ἐστιν
ἁπλοῦν· ἔτι δὲ καὶ τῶν καταλήξεων τὰς διαφορὰς ἐπι-
46 δέχεται. Τὸ δὲ ἈΝΤΙΣΠΑΣΤΙΚῸΝ μετρεῖται μὲν τῷ ὁμω-
νύμῳ ποδί· πολλάκις δὲ τὸν πρότερον δισύλλαβον καὶ
εἰς τοὺς ἄλλους δισυλλάβους μεταβάλλει· εὐπρεπέστερον
μὲν ἦν καὶ εἰς σπονδεῖον, σπανίως δὲ εἰς τοὺς λοιπούς·
καὶ ἀρξάμενον ἀπὸ διμέτρου πρόεισιν ἄχρι τετραμέτρου,
τὰς εἰρημένας χρήσεις τοῦ κατ' ἀρχὴν ποδὸς ἐν πάσῃ
χώρᾳ παραλαμβάνον, τὴν κατάληξιν εὐπρεπείας ἕνεκεν
47 εἰς ἰαμβικὴν καθαρὰν ποιεῖται. Ὅτε δὲ καταληκτικὰ
γίνεται, δέχεται καὶ τὸν ἀμφίβραχυν, ἢ τὸν βακχεῖον.
Καὶ ὁτὲ μὲν ταῖς περιτταῖς προκειμένης ἀντισπαστικῆς
ἐπιφέρει τὴν ἰαμβικὴν, ὁτὲ δὲ τοὐναντίον ποιεῖ. Ὁμοίως p. 55

[r] τρεῖς τροχ.] τέτταρας τροχαίους Herman. Elem. Doct. Metr. p. 82.

[s] ἰαμβικοῦ Meibom.

[t] καὶ auctore Meibomio delevi.

καὶ τῆς ἰαμβικῆς τὸν πρότερον πόδα τρέπον εἰς τοὺς λοιποὺς δισυλλάβους· ἐνίοτε δὲ εἰς τρίβραχυν, ἢ ἀνάπαιστον, διὰ τὴν πρὸς τὸν ἴαμβον συγγένειαν.

48 Τῶν δὲ ἰωνικῶν τὸ μὲν ἀπὸ μείζονος σύγκειται διὰ σπονδείου καὶ πυρριχίου· τρέπει δὲ πολλάκις ἐν τῇ πρώτῃ διποδίᾳ τὸν σπονδεῖον εἰς ἴαμβον κατὰ πᾶν μέγεθος μέτρου. Πρόεισι δ' ἀπὸ διμέτρου μέχρι τετραμέτρου, καὶ τὰ τῶν καταλήξεων εἴδη δέχεται. Τροχαϊκὴν δὲ δέχεται διποδίαν, κατὰ μὲν τὴν περιττὴν χώραν, καθαράν· κατὰ δὲ τὴν ἄρτιον, καὶ ἑπτάσημον. Πολλάκις δὲ καὶ τὸν μολοσσὸν παραλαμβάνει, συνάγον τὰς βραχείας εἰς μακράν, ἢ συζυγίαν ἰαμβικήν, πεντασύλλαβόν τε καὶ
49 ἑξασύλλαβον, λύον τὰς μακρὰς εἰς βραχείας. Τὸ δ' ἀπ' ἐλάσσονος μετρεῖ μὲν ὁ ποὺς ὁ ὁμώνυμος, πολλάκις δὲ καὶ ὁ διτρόχαιος· ὃν ὅταν παραλαμβάνωμεν, τὴν προκειμένην διποδίαν τρίτον παίωνα ποιοῦμεν, ἵνα μὴ τριῶν ἐφεξῆς μακρῶν κειμένων σκληρὸν γίνηται τὸ ποίημα. Δέχεται δὲ καὶ τὰ τῆς καταλήξεως εἴδη, καὶ ποικίλλεται τάς τε βραχείας εἰς μακρὰς συνάγον, καὶ λύον τὰς μακρὰς εἰς βραχείας.

50 Τὸ δὲ παιωνικὸν καλεῖται μὲν καὶ κρητικόν, διὰ τὸ ποτὲ μὲν τοῖς παίωσι καθαροῖς, ποτὲ δὲ τοῖς κρητικοῖς μετρεῖσθαι. Αὔξεται δὲ μέχρι τετραμέτρου· τινὲς δὲ καὶ
51 πεντάμετρα πεποιήκασι. Γίνεται δὲ ταῦτα καὶ διὰ τοῦ τετάρτου παίωνος καθαροῦ, οὗ πολλάκις ἤτοι τὰς δύο p. 56
μέσας βραχείας συνάγοντες εἰς μακρὰν διὰ βακχείου καθαροῦ ποιοῦσι βακχειακόν, ἢ τὴν τελευταίαν μακρὰν εἰς δύο βραχείας λύοντες, δι' ὅλων βραχειῶν [u]ταυτὸ ποιοῦσι, τὴν κατακλεῖδα μόνην τέταρτον παίωνα τηροῦντες, διὰ τὸ τῆς μακρᾶς εἰς ἀνάπαυσιν εὐπρεπές. Τὰ μὲν οὖν ἁπλᾶ μέτρα καὶ πρωτότυπα ταῦτά ἐστι.

[u] ταυτὸ] τοῦτο Hermannus El. D. M. p. 193.

52 Γίνεται δὲ ἐκ τούτων τῶν αὐτῶν μὲν διπλασιαζομένων
μέτρων σύνθετα· τῶν δὲ ἀνομοίων ἈΣΥΝΆΡΤΗΤΑ. Τούτων
δὲ τὰ μὲν ἐκ δυοῖν μέτρων ἓν ἀποτελεῖ κῶλον· τὰ δὲ ἐκ
μέτρου καὶ τομῆς, ἢ μέτρου καὶ τομῶν, ἢ ἐκ πασῶν
τομῶν, ἢ ἀνάπαλιν τομῆς καὶ [x] μέτρου καὶ μέτρων. ὧν
ποικίλη μὲν ἥ τε χρῆσις, καὶ ἡ ἐπ' ἀκριβὲς τεχνολογία·
53 εὐχερὴς δὲ τοῖς ἐπιστήμοσιν εἰς κατανόησιν. Γίνεται δὲ
καὶ ΚΑΤ' ἈΝΤΙΠΆΘΕΙΑΝ μέτρα δύο, ὧν τὸ μὲν ἘΠΙΩΝΙΚῸΝ
καλεῖται, ὅτε διποδίας ἰαμβικῆς προκειμένης ἰωνικὴν
ἐπιφέρεσθαι συμβαίνει, ἥτις οἰκειότητα πρὸς τροχαϊκὸν,
ὡς ἐπεδείξαμεν, ἔχουσα, δεόντως ἂν ἀντιπάσχειν τῇ
ἰαμβικῇ λέγοιτο· τὸ δὲ, ἘΠΙΧΟΡΙΑΜΒΙΚῸΝ, ὅτι τροχαϊκῆς
προκειμένης διποδίας ἐπιφέρεται χοριαμβικὴ, οἰκειότητα
πρὸς τὴν ἐναντίαν τοῦ [y] τροχαϊκοῦ τὴν ἰαμβικὴν, ὡς
54 προειρήκαμεν, ἔχουσα. Ἐπιφέρεται δ' αὐτῇ πολλάκις
καὶ ἰωνικὴ, ἣ συμπέπονθε τῇ τροχαϊκῇ· ἐπιφέρεται δὲ p. 57
καὶ τῇ πρὸς αὐτὴν ἀντικειμένῃ, λέγω δὲ, τῇ ἀντισπα-
στικῇ. Αὔξεται δὲ καὶ ταῦτα μέχρι τετραμέτρων· καὶ
τὰ μὲν αὐτῶν ἀκατάληκτα, τὰ δὲ καταληκτικὰ γίνεται.
55 ΜΈΣΑ δὲ καλεῖται μέτρα, ὅτε δύο ποδῶν ἀντιθέτων εἷς
μεταξὺ πίπτων, οἰκειότητα πρὸς ἀμφοτέρους ἔχων, δυσ-
διάκριτον ποιεῖ τὴν βάσιν· οἷον, ἐκκειμένου μὲν ἑνὸς
δακτύλου, διμέτρου δὲ ἀναπαιστικοῦ, κατὰ μέσον πέσῃ
σπονδεῖος, ἄδηλον πότερα δύο φήσομεν εἶναι μέτρα, τὸ
μὲν δακτυλικὸν, τὸ δὲ ἀναπαιστικὸν, ἄμφω δίμετρα, ἢ
τὸ σύμπαν τετράμετρον ἀναπαιστικόν· καὶ ἐπ' ἄλλων δὲ
56 μέτρων ταυτὸ θεωρεῖται. ΣΥΓΚΕΧΥΜΈΝΑ δ' ἐστὶ τὰ διὰ
τῶν συνθέτων γινόμενα ποδῶν, ὅταν τῶν μὲν μακρῶν
λυομένων, τῶν δὲ βραχειῶν συναγομένων ἐν αὐτῇ δι-

[x] *μέτρου καὶ μέτρων*] Puto legendum *μέτρου, ἢ τομῶν καὶ μέτρου*. Namque colon duo membra non excedit. MEIBOM.

[y] *τροχαίου*] Recte Oxon. *τροχαϊκοῦ*, nisi malimus *τῆς τροχαϊκῆς*. MEIBOM.

ποδίᾳ, δυσχερὲς ἦ ποτέραν ἀποφαντέον. Οἷον εἴ τις
διαλύσειε μὲν τὴν πρώτην μακρὰν τοῦ ἀπὸ μείζονος ἰω-
νικοῦ, συναγάγοι δὲ τὰς βραχείας, ἄδηλον πότερον ὁ
57 μείζων πέφυκεν ἰωνικὸς, ἢ ὁ ἐλάττων. Τὰ μὲν οὖν τοι-
αῦτα τῶν μέτρων, ἤτοι ἐκ τῶν καθαρῶν διποδιῶν, αἷς
παρατίθεται, καταλαμβάνεται, ἢ ἐκ τῶν ἑπομένων κώλων,
58 ἢ ἐκ τῶν ταῖς ἀντιστρόφοις ἀποδιδομένων. Καλεῖται δέ
τινα καὶ Ἀπεμφαίνοντα, ὅταν ἐν τοῖς συνθέτοις [1]ποσὶν,
ὅπου χρεία βραχείας, μακρὰ παραληφθῇ. Ὧι τινες
καὶ τῶν ἀρχαίων κέχρηνται διὰ τὴν τῶν ὀνομάτων
ἀνάγκην.

59 Τὸ δὲ ἐκ τῶν μέτρων εὐπρεπὲς σύστημα καλεῖται p. 58
ποίημα. Τούτων δὲ τὰ μὲν γίνεται κατὰ στίχον, ὡς τὰ
Ὁμήρου· τὰ δὲ ἐκ δύο μέτρων, ὡς τὰ ἐλέγεια· τὰ δὲ, ἐκ
τριῶν, ὡς ὅταν ἐλεγείῳ προστιθῇ τις ἰαμβεῖον ἢ ἄλλό
τι· τὰ δ' ἐκ πλειόνων. Καὶ τούτων τὰ μὲν ἀπολελυ-
60 μένα· τὰ δὲ, κατὰ σχέσιν. Ἀπολελυμένα μὲν, ὡς παρὰ
τοῖς κωμικοῖς αἱ παραβάσεις· κατὰ σχέσιν δὲ, ὡς τὰ
ἀντιστρέφοντα. Καὶ πάλιν τούτων ἃ μὲν διμερῆ, ἃ δὲ
61 τριμερῆ, ὡς τὰ καὶ τὴν ἐπῳδὸν προσλαμβάνοντα. Καὶ
τὰ μὲν ὁμοίως τῇ τάξει· τὰ δὲ, ἐναντίως ἔχει· ὁμοίως
μὲν, ὡς ὅταν τὸ πρῶτον τῆς ἀντιστρόφου τῷ τῆς στρο-
φῆς ἀποδοθῇ πρώτῳ· τὸ δὲ δεύτερον, τῷ δευτέρῳ, καὶ
τὰ ἑξῆς ὁμοίως, ἐναντίως δὲ, ὡς ὅταν τὸ πρῶτον τῷ
τελευταίῳ· τὸ δὲ δεύτερον, τῷ [a]παρατελευταίῳ. Καὶ τὰ
λοιπὰ κατὰ τὸν αὐτὸν λόγον. Ἀρκεῖ καὶ ταῦτα περὶ
μέτρων καὶ ποιήματος, ἱκανῶς γὰρ ἡμῖν ὁ τεχνικὸς τῆς
μουσικῆς πεπέρανται λόγος.

[1] Pro ποσὶν ferme legerim ὀνόμασιν, ut illud ex Simonid. epigram. quod p. 14. habet Hephæstio, genuinum hic sit exemplum. ἢ μέγ. Ἀθ. κ. τ. λ. MEIBOM. Vid. Schol. ad Hephæst. 16, 1.

[a] Sic MSS. παρατελάτῳ ed. παρατελεύτῳ em. Meibomius.

TERENTIANVS DE LITTERIS SYL LABIS ET METRIS HORA TII.

LVDOVICVS Maria Sfortia Anglus dux Mediolani, etc., Papiæ Angleriæque Comes: ac Ianuæ et Cremonæ dominus. In omni genere negotiorum eo magis ingenia acui et operi homines alacrius incumbere certum est: quo fructuosiorem suam sibi quisque operam et industriam sentit. Hæc causa nos movet: ut cum superiori anno auctore doctissimo quondam Viro domino Georgio Merula Alexandrino Georgius Galbiatus ejus Amanuensis invenerit atque ex squalore et situ eruerit sex annotatos infra grammaticos, atque eos in presenti in communem studiosorum utilitatem tradere Impressuræ statuerit ex litteris longobardis in usitatos caracteres sua manu et vigiliis transcriptos: Ad officium nostrum pertinere censuimus: Cavere ne nova alterius impressura et emulatione meritissimo lucello fraudetur. Itaque per has nostras publicas litteras decernimus: declaramus statuimus: et edicimus: ne quis in dominio nostro ejusmodi volumina separata aut cum aliis operibus commista imprimat: vel alibi Impressa in dominio nostro vendat: aut venales inducat: aut sub quocunque alio titulo importet: Sub pena viginti quinque aureorum Cameræ nostræ applicandorum pro singulis voluminibus: quæ sic contra hanc nostram declarationem impressa importatave invenientur. Præsentibus annos quinque proxime futuros valituris. Datæ Vigleuani sub fide sigilli nostri: Die quinto Septembris Anno MCCCCLXXXX sexto.

Terentianum de Metris et Syllabis Horatii
Fortunatianum de carminibus Horatii
Velium Longum de orthographia
Adamantium de orthographia.
Catholica probi
Cornelii Frontonis elegantias.

B. CALCHUS.

GEORGIVS GALBIATVS PONTREMVLENSIS IACOBO ANDREAE FERRARIENSI, S. D.

CVM Bobii in coenobio divi Columbani, iussu eruditissimi Merulae, chronica et Caesarum diplomata evolverem, ut uberiorem gentis Vicecomitum historiam conscriberet, multa nobilium scriptorum volumina (reliquiae erant Longobardorum) ex carcere perpetuo et tenebris in lucem eduxi et ad vitam revocavi atque ex contemptu et fastidio in dignitatem et expectatam cognitionem non sine difficili labore restitui. Sed dum mecum miseram horum calamitatem conspicis, et multorum auctorum perniciosam cladem defles, et subinde subdubitas ne iterum hi libri emoriantur, qui aliquando intermortui fuere, Terentianum ex omni numero emittere impressionique tradere constitui. Excultum sane opus. Miraberis statim in praefatione ingenium doctrinam et facilitatem in carmine. De litteris, syllabis, genere metrorum et permutatione, non prosa oratione, sed numeris tantum, praecepta tradit et exempla. Hujus Terentiani versiculum Augustinus in Civitate dei in laudem Varronis profert, quem eruditum appellat. Nihil in hoc genere aut eruditius aut exquisitius Latinis litteris proditum. Pereleganter quidem et non illepide docet quemadmodum Catullus in senariolo syllabas permutaverit; quamvis alii aliter interpretati sint. Caeterum ne studiosi lectores in hoc vario carmine ambigui reddantur, longis litteris ea insignire curavi quae hic auctor fulgidula milto notavit: et paucula quaedam, quasi rerum indices, ex libro apposui. Culpam vero errorum, si qui erunt, non mihi, non denique impressoribus, sed ipsis Longobardis omnem ascribes: hi nanque perverse litteras et dictiones collocabant, et quod aegrius erat, verba aliquando intercipiebant. Ita cum ex charactere Longobardo in nostrum hos libros traducerem, saepius divinare oportuit. Nunquam tamen ausus sum litteram immutare aut dictionem ex ingenio supponere. Malui potius cum Longobardo codice errare quam

temerarii nomen subire. Doleo tamen, quanquam adhuc in nostra lingua multa desideramus, sive negligentia et inscitia hominum sive invidia temporis hoc effecerit, particulam nobis in fine operis ereptam. Ita imperfectum et mancum opus consumatissimi undecunque Terentiani habuimus. Quod vero nobis superfuit, diligentia et acri iudicio Merulae et nunc nuper Ioannis Placentini peremendatum accipies. Vale.

RAPHAEL VOLATERRANVS COMMENTARIORVM VRBANORVM LIBRO QVARTO.

Folio LVI primae editionis Romanae a. MDVI.

Τούτων οὖν ὄντων τῶν ποδῶν ἐξ ὧν τὸ ἡρωϊκὸν μέτρον συνίσταται, κάλλιστον μέν ἐστι συντεθῆναι δι' ὅλων δακτύλων, ὥσπερ καὶ τἄλλα μέτρα διὰ τῶν οἰκειοτάτων ποδῶν, καὶ ἔστιν εὑρεῖν οὕτως ἔχοντας στίχους. Δέχεται δὲ καὶ τοὺς ἄλλους ὡς εἴπομεν οὕτως· ἐν μὲν ταῖς ε' χώραις δακτυλικὸν καὶ σπονδεῖον καὶ ἀμφίμακρον καὶ παλιμβάκχειον, ἀδιαφόρως καὶ ὡς ἔτυχε· τὸν δὲ τροχαῖον ἐν τῇ ϛ', ἵνα βεβηκὼς εἴη ὁ στίχος· ἐν δὲ τοῖς μέσοις τόποις οὐκ ἐπιδέχεται τὸν τροχαῖον ἵνα μὴ χωλὸς γένηται ὁ στίχος· εἰ δέ ἐστι δυνατὸν θεραπευθῆναι διὰ τῆς κοινῆς συλλαβῆς, τίθεται. Μία μὲν οὖν τοιαύτη κατάληξις τοῦ ἡρωϊκοῦ· ἑτέρα δὲ ἡ καλουμένη Αἰολικὴ, ἥ τις τὸν μὲν α' πόδα ἔχει ἕνα τῶν δισυλλάβων, τοὺς δὲ ἑξῆς πλὴν τοῦ τελευταίου πάντας δακτύλους, τὸν δὲ τελευταῖον ἢ δάκτυλον ἢ ἀμφίμακρον· εἰ δέ ἐστι καταληκτικὸν εἰς συλλαβὴν, τροχαῖον, εἰ δὲ βραχυκατάληκτον μίαν συλλαβὴν μακρὰν, ἢ καὶ βραχεῖαν διὰ τὸ ἀδιάφορον τὸ τέλος παντὸς μέτρου· τρίτη δὲ ἡ λογα(οι)δικὴ, ἥτις τὸν μὲν α' πόδα ἢ σπονδεῖον ἢ τροχαῖον ἢ δάκτυλον ἢ μολοττὸν ἔχει, τοὺς δὲ λοιποὺς ὥσπερ καὶ ἡ Αἰολική.

Ὑπὸ τοῦτο δὲ καὶ τὸ ἐλεγεῖον καὶ ἐλεγειακόν ἐστιν. Ἐκλήθη δὲ οὕτω διὰ τὸ τὰς γυναῖκας λιγυρᾷ τῇ φωνῇ κλαίειν· ἐχρῶντο γὰρ ἐν τοῖς τάφοις τούτῳ τῷ μέτρῳ· ἢ ὅτι ἔλεγος μὲν ὁ θρῆνος λέγεται διὰ τὸ ε ε' λέγειν· ἐν θρήνοις δὲ καὶ τάφοις ἐχρῶντο τῷ

μέτρῳ τούτῳ. Τοῦτο δὲ διπλοῦν ἐστί· τὸ μὲν γὰρ αὐτοῦ πεντάμετρόν ἐστι· πεντὲ γὰρ δέχεται χώρας, τὰς μὲν τρεῖς, ἤγουν α′ β′ καὶ γ′ συγκειμένας ἐκ τοῦ δακτύλου καὶ σπονδείου· ἐνίοτε δὲ δέχεται ἡ πρώτη καὶ β′ μόνον καὶ ἀμφίμακρον, ἢ παλιμβάκχειον, καθαροὺς μέντοι ὥσπερ εἴρηται· ἡ δὲ γ′ σπονδεῖον μόνον, ἡ δὲ δ′ ἀνάπαιστον, ἡ δὲ ε′ ἀνάπαιστον καὶ χορεῖον. Τὸ δὲ ἐν μὲν τῇ α′ καὶ β′ χώρᾳ τοῦ πενθημιμεροῦς δέχεται σπονδεῖον καὶ δάκτυλον ἀδιαφόρως, πρόσετι δὲ καὶ ἀμφίμακρον καὶ παλιμβάκχειον, θεραπευομένους μέντοι· μετὰ δὲ τούτους μακρὰ συλλαβὴ καταπεραιοῦσα μὲν εἰς μέρος λόγου· τὸ δὲ ἕτερον πενθημιμερὲς δέχεται δύο πόδας δακτύλους, εἶτα συλλαβὴν μακρὰν ἢ βραχεῖαν, ἀδιάφορος γάρ. Τούτοις συνάπτεται καὶ τὸ ἐπικὸν, κατ᾽ οὐδὲν μὲν διαφέρον τοῦ α′ ἐλεγείου, πλὴν ὅτι ἐπιδέχεται τοὺς πόδας ἐκείνου ἀδιαφόρως, καὶ πρόσετι ἐν τῷ τέλει καὶ τροχαῖον.

Τοῦ δὲ ἡρωϊκοῦ εἴδη εἰσὶ ταῦτα· ἰσόχρονον, τὸ τὰ μεγέθη τῶν συλλαβῶν καὶ τοὺς πόδας ἀπὸ τοῦ πρώτου μέχρι τοῦ ἐσχάτου τοὺς αὐτοὺς ἔχον·

τὼ δ᾽ ἐν Μεσσήνῃ ξυμβλήτην ἀλλήλοισι.

πάντες γὰρ οἱ πόδες παρὲξ τοῦ τελευταίου, ἀδιάφορος γὰρ οὗτος, ἴσοι τυγχάνουσιν τοῖς μεγέθεσι τῶν συλλαβῶν. Ἀπηρτισμένος, ὅταν πᾶσαν ἔννοιαν περιλαμβάνει εἰς ἑαυτὸν (ἐν ᾧ), καὶ μὴ περιορίζων τὴν τῶν ἄλλων στιχῶν ἔννοιαν ἐν τῷ ἰδίῳ μέτρῳ, ἢ ἐπιπλέκων τῇ τῆς ἐννοίας περιλήψει·

ὣς εἰπὼν πυλέων ἐξέσσυτο φαίδιμος Ἕκτωρ.

ἀκέφαλος, ὁ ἀπὸ βραχείας ἀρχόμενος,

ἐπειδὴ νῆάς τε καὶ Ἑλλήσποντον ἵκοντο.

λαγαρὸς, ὁ κατὰ τὸ μέσον τοῦ στίχου τὴν ὀφειλομένην σύνθεσιν μὴ σώζων,

Νέστορα δ᾽ οὐκ ἔλαθεν ἰαχὴ πίνοντά περ ἔμπης

μείουρος, ὁ κατὰ τὴν σύνθεσιν τὸ τέλος μὴ σώζων, τὴν παρατελευταίαν συλλαβὴν βραχεῖαν ἔχων,

Τρῶες δ᾽ ἐρρίγησαν ἐπεὶ ἴδον αἰόλον ὄφιν

ὁ γὰρ ἐν τέλει ποὺς ἀπὸ βραχείας ἀρξάμενος μειοῦσθαι ποιεῖ τὸ

τέλος τοῦ στίχου. Τραχύς ἐστιν, ὁ τὴν φράσιν τραχύνων διὰ τῆς τῶν φωνηέντων συνθήκης·

τριχθά τε καὶ τετραχθὰ διατρυφὲν ἔκπεσε χειρός.

μαλακοειδὴς, ὁ λείως καὶ ὁμαλῶς ἐμπίπτων ταῖς ἀκοαῖς·

αἵματί οἱ δεύοντο κόμαι Χαρίτεσσιν ὁμοῖαι.

κακόφωνος, ᾧ πολλὰ φωνήεντα πρόσεστι·

φήῃ ἀθηρηλοιγὸν ἔχειν ἀνὰ φαιδίμῳ ὤμῳ.

λογοειδὴς, ὁ τῇ συνθέσει πεζότερος·

ἵππους δὲ ξανθὰς ἕκατον καὶ πεντήκοντα.

προκέφαλος, ὁ ἔχων πλέον τῆς τετραχρονίας·

ἢ οὐχ ἅλις ὅττι γυναῖκας ἀνάλκιδας ἠπεροπεύεις.

σφήκιος, ὁ ἐσφηκωμένος κατὰ τὸ μέσον·

ἢ λάθετ' ἢ οὐκ ἐνόησεν, ἀάσσατο δὲ μέγα θυμῷ.

δολιχόουρος, ὁ δολιχὴν ὑπὲρ τὸ προσῆκον ἔχων τὴν οὐράν,

Κάστορά θ' ἱππόδαμον καὶ πὺξ ἀγαθὸν Πολυδεύκεα.

προκοίλιος, ὁ περιττεύων συλλαβῇ·

Πατρόκλου ποθέων ἀνδρότητά τε καὶ μένος ἠΰ.

ἡ γὰρ δρο συλλαβὴ πλεονάζει τοῦ στίχου, καὶ ἐντίθησιν ὄγκον ὥσπερ καὶ ἐπὶ τῶν προγάστρων.

μακροσκελὴς, ὁ περιττεύων συλλαβῇ κατὰ τὸν ἕκτον πόδα·

Κύκλωψ τῆ πίε οἶνον ἐπεὶ φάγες ἀνδρόμεα κρέα.

Δεῖ δὲ εἰδέναι ὅτι τοῦ λαγαροῦ καὶ τοῦ σφηκίου τὰ παραδείγματα δύνανται θεραπευθῆναι τῇ κοινῇ συλλαβῇ· τὸ γὰρ θεν καὶ δε κοιναὶ συλλαβαί εἰσι, καὶ λογίζονται ἀντὶ μακρᾶς· τοῦ δὲ δολιχοούρου καὶ μακροσκελοῦς καὶ τῶν ὁμοίων τῇ συνιζήσει θεραπεύονται. Τούτων δὲ τῶν κατὰ τὸ τέλος παθόντων ἐναντίος ἐστὶν ὁ μείουρος. Εὕρηνται δὲ καὶ ἑτέραι τινὲς διαφοραὶ τοῦ ἡρωϊκοῦ· εἰσι δὲ αὗται·

κατενόπλιον, τὸ ἔχον δύο δακτύλους καὶ ἕνα σπονδεῖον·

ὣς φάτο δακρυχέων τοῦ δ' ἔκλυε πότνια μήτηρ.

περιοδικὸν, τὸ ἔχον ἕνα δάκτυλον καὶ ἕνα σπονδεῖον·

οὐλομένην, ἡ μυρί' Ἀχαίοις ἄλγε' ἔθηκεν.

βουκολικὸν, τὸ μετὰ τρεῖς πόδας ἀπαρτίζον εἰς μέτρος λόγου·

ἐξ ἐπιδιφριάδος πυμάτοις ἱμᾶσι δέδεντο.

σαπφικὸν, τὸ ἀρχόμενον ἀπὸ σπονδείου καὶ λῆγον εἰς σπονδεῖον·

ἄλλοι μὲν ῥα θεοί τε καὶ ἀνέρες ἱπποκορυσταί.

ὑπόρρυθμον, τὸ καθ' ἕκαστον πόδα ἀπαρτίζον εἰς μέρος λόγου·

ὕβριος εἵνεκα τῆσδε φίλος (sic) σὺ δ' ἴσχεο ἡμῖν.

τέλειον, τὸ ἔχον πάντα τὰ μέρη τοῦ λόγου·

πρὸς δέ με τὸν δύστηνον ἔτι φρονέοντ' ἐλέησον.

πολιτικὸν δὲ, τὸ ἄνευ πάθους ἢ τρόπου·

ἵππους δὲ ξανθὰς ἕκατον καὶ πεντήκοντα.

ἡλιοειδὲς, τὸ καὶ προβάθμιον καὶ κλιμακωτὸν, ὅπερ ἄρχεται μὲν ἐκ μονοσυλλάβου λέξεως, προϊὸν δὲ αὔξει τὰς λέξεις μιᾷ συλλαβῇ θατέραν θατέρας·

ὦ μάκαρ Ἀτρείδη μοιρηγενὲς ὀλβιόδαιμον.

ἐμπερίβολον, τὸ ἔχον τινὰς τῶν δέκα κατηγοριῶν καὶ τῶν ἓξ περιστατικῶν,

ποσὸν ποῖον οὐσία που ποτέ
πολλὰς δ' ἰφθίμους ψυχὰς ἄϊδι προΐαψε.

Τὸ ἀναπαιστικὸν κατὰ πᾶσαν χώραν δέχεται σπονδεῖον καὶ ἀνάπαιστον· σπανίως δὲ καὶ προκελευσματικόν· παρὰ δὲ τοῖς δραματοποιοῖς ἴαμβον καὶ δάκτυλον. Εἰσὶ δὲ αὐτοῦ ἀποθέσεις ἓξ κατὰ συζυγίαν διαιρουμένου· ὑπερκατάληκτον εἰς δισύλλαβον, ὑπερκατάληκτον εἰς συλλαβὴν, ἀκατάληκτον, καταληκτικὸν εἰς συλλαβὴν, καταληκτικὸν εἰς δισύλλαβον, βραχυκατάληκτον. Ὥσπερ δὲ ἐν τῷ δακτυλικῷ τὸ λογαδικὸν (sic) οὕτω κἀν τοῖς ἀναπαίστοις τὸ εἰς βακχεῖον περαιούμενον, οὗ ἐστὶν ἐπισημότατον τὸ μετὰ τέσσαρα πόδας αὐτὸν ἔχον τὸν βακχεῖον, ὧν ὁ πρῶτος γίνεται καὶ σπονδεῖος καὶ ἴαμβος.

παροιμιακὸν	κτι μεγάνορος ἔξοχα πλούτου	δίμετρον
λογαδικὸν	ὑπὸ βουθυσίαις ἀέθλων τε πεμ	καταληκτικὸν
	ποθέω στρατιᾶς	μονόμετρον
	Ῥόδον εὐθυμάχαν	ἀκατάληκτον
εἰς δισύλλαβον	τὸ μὲν Ἀρχιλόχου μέλος	μονόμετρον ὑπερκατάληκτον.
μονόμετρον	καὶ ἀγάνορος	καταληκτικὸν εἰς συλλαβήν.
τρίμετρον	ἀκλεὴς τίμα κατεφυλλορόησε ποδῶν	βραχυκατάληκτον
μονόμετρον	μάντιν τ' ἀγαθὸν	ἀκατάληκτον

ὅτ' ἐγὼ τὰ δίκαια λέγων ἤνθουν καὶ σωφροσύνη λελόγισται (sic)

τετράμετρον καταληκτικὸν εἰς δισύλλαβον·

δίμετρον	τότε γ' Ἄρτεμις οὐκ ἐχόρευσε	καταληκτικὸν εἰς δισύλλαβον
τρίμετρον	ἀγέτω θεὸς οὐ γὰρ ἐγὼ δίχα τῶνδ' ἀείδω.	

Τὸ δὲ προκελευσματικὸν ὑπὸ τὸ ἀναπαιστικόν ἐστιν. Τὸ γὰρ τοῦ ἀναπαίστου μακρὸν διαλυόμενον εἰς δύο βραχείας τὸν προκελευσματικὸν ποιεῖ. Ἔστι δὲ δίμετρον συγκείμενον ἐκ προκελευσματικῶν ποδῶν καὶ μόνων. Ἔστωσαν δὲ τούτου παραδείγματα ταῦτα·

ὅθεν ὁ πολύφατος   δίμε-
νόον ὑπὸ γλυκυτα
ὅποτ' ἐκάλεσε πα   τρα κα-
ὕδατος ὅτι τε πυ-
μετὰ τὸ ταχύποτμον   ταληκ-
ἐμὲ δ' ἐπὶ ταχυτα
Πέλοπος ἵνα ταχυ   τικά
θεὸς ἐπίτροπος.

Τὸ τροχαϊκὸν κατὰ μὲν τὰς περιττὰς χώρας δέχεται τροχαῖον, τρίβραχυν, δάκτυλον, κατὰ δὲ τὰς ἀρτίους τούτους τε καὶ σπονδεῖον καὶ ἀνάπαιστον· καταληκτικὸν δὲ ὅτε ἐστὶ, τὸν παραλήγοντα μάλιστα μὲν τροχαῖον δέχεται, ἔστι δ' ὅτε καὶ τρίβραχυν· κἂν δὲ ᾖ βραχυκατάληκτον οὐ βούλεται τὸν παραλήγοντα τετράσημον ἔχειν. Ταῦτα τούτου παραδείγματα·

Τροχαϊκὸν ἰθυφαλλικὸν δίμετρον βραχυκατάληκτον·
χρυσὸς αἰθόμενον πῦρ.

δίμετρον καταληκτικὸν Εὐριπίδειον·
μήκεθ' ἁλίου σκόπει.

μονόμετρον ὑπερκατάληκτον·
ἄλλο θαλπνότερον.

δίμετρον ἀκατάληκτον·
μηδ' Ὀλυμπίας ἀγῶνα.

δίμετρον καταληκτικόν·
μηδ' ἀπείρατον καλῶν.

τρίμετρον καταληκτικόν·
τὶν γὰρ ἐν πόντῳ κυβερνῶνται θοαί.

τρίμετρον ἀκατάληκτον ἐν ἰάμβῳ τελευτῶν ἔθει Πινδαρικῷ·
νᾶες ἐν χέρσῳ δὲ λαιψηροὶ πόλεμοι.

δίμετρον καταληκτικὸν Εὐριπίδειον·
πόλλ' ἄνω, τὰ δ' αὖ κάτω.

τρίμετρον ἀκατάληκτον·

καὶ δὶς ἐν Πυθῶνι Ἰσθμοῖ τ' Ἐργότελες.

δίμετρον ἀκατάληκτον·

ων παρ' οἰκείαις τροφαῖς.

δίμετρον ὑπερκατάληκτον·

ἀνδράσι πλούτου χρύσεαι.

δίμετρον ὑπερκαταληκτικόν·

ταὶ Διονύσου πόθεν ἐξέφαναν.

δίμετρον καταληκτικὸν·

σαι κυλίνδοντ' ἐλπίδες.

ὁμοῖον,

συγγόνῳ παρ' ἑστίᾳ.

Τὸ χοριαμβικὸν συντίθεται μὲν καθαρὸν, συντίθεται δὲ καὶ ἐπίμικτον πρὸς τὰς ἰαμβικάς· ὡς ἐπίπαν δὲ, ὅτε καταληκτικόν ἐστιν εἰς τὴν ἰαμβικὴν κατακλεῖδα περαιοῦται, τουτέστιν δὲ, ἀμφίβραχυν ἢ βακχεῖον διὰ τὴν ἀδιάφορον· περαιοῦται μὲν γὰρ καὶ εἰς τὴν ἰδίαν, τὸν δάκτυλον ἢ κρητικὸν, ἀλλὰ τῷ ταῦτα συνεχέστερα εἶναι ἀπρεπέστερά ἐστι. Ταῦτα τούτου παραδείγματα·

δίμετρον κ.

ἅτε διαπρέπει νυ-

δίμετρον κ.

ἐξαπατῶντι μῦθοι

δίμετρον ὑπ.

τοῦτό γε οἱ σαφῶς μαρτυρῇ

τρίμετρον βρ.

οὐδ' ἔλαθ' Αἴπυτον παντὶ χρόνῳ

ὁμοῖον

καλλιρόοισι πνοιαῖς ματροπάτωρ

τρίμετρον καταληκτικὸν εἰς σ.

πατρί τε θυμὸν ἰάναιεν κόρᾳ τ' ἐγ.

δίμετρον ἀ.

δέ σφισιν ὤπασε τέχναν

δίμετρον καταληκτικὸν εἰς σ.

Ῥόδον ἔμεν ποντίῳ

ὁμοῖον

καὶ κρίσις ἀμφ' ἀέθλοις

ὁμοῖον. . . .

Τὸ ἀντισπαστικὸν τὴν μὲν πρώτην συζυγίαν ἔχει τρεπόμενον κατὰ τὸν πρότερον πόδα εἰς τέσσαρα τοῦ δισυλλάβου σχήματα, τὰς δὲ ἐν μέσῳ καθαρὰς ἀντισπαστικάς, τὴν δὲ τελευταίαν ὁπότέ ἐστιν ἀκατάληκτον, ἰαμβικήν, ἐὰν δὲ ἀναμίσγηται ταῖς ἰαμβικαῖς οὐ μόνον τὴν πρώτην συζυγίαν ἔχει τρεπομένην κατὰ τὸν πρότερον πόδα, ἀλλὰ καὶ τὴν ταῖς ἰαμβικαῖς ἑπομένην. Ἔστι δ' ὅτε καὶ λύεται ὁ πρότερος ποὺς εἰς τρίβραχυν. Ταῦτα παραδείγματα τούτου·

δίμετρον ἀκατάληκτον Γλυκώνειον·

ἄριστον μὲν ὕδωρ ὁ δὲ

δίμετρον καταληκτικὸν εἰς σ.

ἐρήμας δι' αἰθέρος

δίμετρον ὑπ.

σοφῶν μητίεσσι κελαδεῖν

τρίμετρον καταληκτικὸν εἰς σ.

Κρόνου παῖδ' ἐς ἀφνεὰν ἱκομένους

τρίμετρον βραχυ.

μάκαιραν Ἱέρωνος ἑστίαν

δίμετρον ὑπ.

Συρακούσιον ἱπποχάρμαν

τρίμετρον κ.

δέ οἱ κλέος ἀν' εὐάνορι Λυδοῦ

τρίμετρον ἀ.

ἐπεί νιν καθαροῦ λέβητος ἔξελε

τρίμετρον κ.

δεδαιδαλμένοι ψεύδεσσι ποικίλοις

μονόμετρον ὑπ.

δεδαιδαλμένος

δίμετρον βρ.

φέρει τῶν τε καὶ τῶν

Τὸ ἀπὸ μείζονος ἰωνικὸν συντίθεται μὲν καὶ καθαρὸν συντίθεται δὲ καὶ πρὸς τὰς τροχαϊκὰς ἐπίμικτον. Ὅτε μέντοι ἀκατάληκτόν ἐστι καθόλου σπανίως εἰς τὴν ἰωνικὴν περαιοῦται, διὰ τὸ ἀπρεπῆ εἶναι τὴν ἰωνικὴν ἐπὶ τέλους οὖσαν Δέχεται δὲ ἐν ταῖς ἀρτίαις χώραις καὶ μολοττὸν, τῶν δύο βραχειῶν τῶν ἐν ταῖς ἀρτίαις χώραις τυγχανουσῶν τοῦ ἰωνικοῦ συμπτυσσομένων εἰς μίαν μακράν. Δέχεται ἔστιν ὅτε καὶ παιῶνα πρῶτον, τοῦ πρώτου τροχαίου αναλυομένου εἰς τρίβραχυν, ἀλλὰ καὶ β′ καὶ γ′ ἀντὶ ἰωνικοῦ τοῦ ἐλάσσονος, οὗ παραδείγματα ταῦτα·

δίμετρον ὑπ.

Κλωθὼ ἐλέφαντι φαίδιμον

δίμετρον βρ.

ἣ θαύματα πολλὰ

δίμετρον ἀ.

ὑπὲρ τὸν ἀληθῆ λόγον

τρίμετρον κ.

ὑπὸ ποικιλοφόρμιγγος ἀοιδᾶς

δίμετρον ἀ.

ἑλισσόμεναί μ᾽ ἔπεμψαν

ὁμοῖον

Πισάτιδι κῦδος ὄρσαι

τρίμετρον βρ.

ὑψηλοτάτων μάρτυρ᾽ ἀέθλων

δίμετρον βρ.

οὐλυμπιονίκαν

δίμετρον κ.

δε καὶ Χαρίτων ἕνεκα

δίμετρον α.

τίνα θεῶν τίν᾽ ἡρώων.

Τὸ ἀπ᾽ ἐλάσσονος Ἰωνικὸν συντίθεται μὲν καθαρὸν, συντίθεται δὲ καὶ ἐπίμικτον πρὸς τὰς τροχαϊκὰς διποδίας, οὕτως ὥστε τὴν πρὸ τῆς τροχαϊκῆς ἀεὶ γίνεσθαι πεντάσημον, τουτέστι τρίτον παιωνικὴν, καὶ τὴν τροχαϊκὴν ὁπόταν προτάττοιτο τῆς ἰωνικῆς γίνεσθαι

ἑπτάσημον τροχαϊκὴν, τὸν καλούμενον δεύτερον ἐπίτριτον· ἔσθ' ὅτε δὲ ἡ μὲν τρίτη παιωνικὴ συναιρεῖται εἰς παλιμβάκχειον, τῆς δὲ ἐπιφερομένης τροχαϊκῆς ὁ πρότερος λύεται εἰς τρίβραχυν. ἐμπίπτουσι δὲ καὶ οἱ μολοττοὶ ἐπὶ τῶν περιττῶν χωρῶν ἐν τοῖς ἀπ' ἐλάσσονος ἰωνικοῖς, ὥσπερ ἐν τοῖς ἀπὸ μείζονος ἐπὶ τῶν ἀρτίων.

δίμετρον ὑπ.

κεφάλα Τυφῶνος ὀμβρίμου.

δίμετρον ἀ.

στεφάνων ἄωτον γλυκὺν.

δίμετρον κ.

φιάλαν ὡς εἴ τις ἀ-

τρίμετρον β.

ἀλλ' ἀπήμαντον ἄγων βίοτον.

τετράμετρον κ.

δ' ἐν Ὀλυμπιάδι νικῶν φερέτω χάριν.

τετράμετρον ἀ.

ἕκατον μὲν Διὸς υἱὸν τάδε Μῶσαι κροκόπεπλοι.

ὁμοῖον

ἔμε δειλὰν ἔμε πασᾶν κακοτήτων παῖδ' ἔχουσαν.

τετράμετρον βρ.

μεγάλῳ δ' ηὖτε μ' ἔρως ἔκοψεν ὥστε χαλκεὺς

ὁμοῖον

πελέκει χειμερίῃ δ' ἔλισσεν (sic) ἐν χαράδρῃ.

Τὸ παιωνικὸν εἴδη μὲν ἔχει τρία, τό τε κρητικὸν, τὸ βακχεῖον, καὶ τὸ παλιμβάκχειον, ὃ καὶ (ἀν)επιτήδειόν ἐστι πρὸς μελοποιίαν· τὸ δὲ κρητικὸν ἐπιτήδειον πρὸς θρήνους. Δέχεται δὲ λύσεις τὰς καλουμένας παιόνας· καλεῖται δὲ ὑπ' αὐτῶν τῶν ποιητῶν κρητικόν. Συντίθεται μὲν οὖν ἐξ παιόνων, δέχεται δέ ἐστιν ὅτε καὶ ἐπιτρίτους· οἰκεῖον γὰρ τοῖς παιόσιν οἱ ἐπίτριτοι. Τῶν πρώτων οὖν βραχέων τοῦ δ' παιόνος καὶ τῶν ἐσχάτων τοῦ α' συναιρουμένων εἰς μίαν μακρὰν ἀμφίμακρος γίνεται, καὶ κρητικὸν τὸ μέτρον καλεῖται· τῶν δ' ἐσχάτων τοῦ β' βραχειῶν συναιρουμένων εἰς μίαν μακρὰν ὁ βακχεῖος γίνεται, καὶ βακχειακὸν τὸ μέτρον καλεῖται.

Τῶν πρώτων δὲ τοῦ τρίτου ταυτὸ παθουσῶν ὁ παλιμβακχεῖος γίνεται, καὶ παλιμβακχειακὸν καλεῖται.

τρίμετρον κ.

ἐράσσατο γαιάοχος ποσειδᾶν

δίμετρον κ.

ἕνεκα νικαφόρου

τετράμετρον κ.

ὦ πόλι φίλη Κέκροπος αὐτοφυὲς Ἀττική
χαῖρε λιπαρὸν δάπεδον οὖθαρ ἀγαθῆς χθονός.

τρίμετρον κ.

Ἀλκιμέδοντα δὲ παρὰ Κρόνου λόφῳ

δίμετρον ἀ.

θῆκεν Ὀλυμπιονίκαν

τρίμετρον ἀ.

καὶ πιστὸν ὅρκιον μεγάλαις ἀρεταῖς.

Τὸ Ἀνακρεόντειόν ἐστι μὲν δίμετρον, ἐπιδέχεται δὲ ἐν τοῖς οἴκοις αὐτοῦ ἀνάπαιστον καὶ δύο ἰάμβους καὶ μιὰν περιττὴν συλλαβήν· οἱ δ' ὡς τριμέτρῳ χρησάμενοι ἐν μὲν τῇ πρώτῃ τιθέασι τροχαῖον, ἐν δὲ τῇ δευτέρᾳ ἴαμβον, ἐν δὲ τῇ γ' καὶ τῇ ε' πυρρίχιον, ἐν δὲ τῇ δ' σπονδεῖον, ἐν δὲ τῇ ϛ' ἀδιαφόρως.

δίμετρον ἐν τῇ ἀρχῇ συλλαβῇ περιττεῦον·

καὶ πού τι καὶ βροτῶν φάτις.

δίμετρον κ.

τατε βάθρον πολίων.

δίμετρον συλλαβῇ περιττεῦον ἐν τῷ τέλει·

ὁ νόος θέλει γὰρ αἴρειν
ὁ λόγος θέλει καθυμνεῖν.

Τὰ δὲ ἀσυνάρτητα μέτρα εἰσὶν, ἅπερ ἐπὶ πάντων τῶν μέτρων θεωρεῖται· γίνεται δὲ ὅταν δύο κῶλα ἐξ ἄλλου καὶ ἄλλου μέτρου μὴ δυνάμενα ἀλλήλοις συναρτηθῆναι ἀνθ' ἑνὸς παραλαμβάνηται στίχου· ἢ ἀπὸ δακτυλικοῦ πενθημιμεροῦς καὶ ἰαμβικοῦ, ἢ ἐξ ἀναπαιστικοῦ ἑφθημιμεροῦς καὶ τροχαϊκοῦ ἡμιολίου, ἡμιόλιον δὲ

λέγεται ἡ μία καὶ ἡμίση συζυγία, ἢ ἐξ ἰωνικοῦ καὶ χοριαμβικοῦ, ἢ ἐκ δακτύλων καὶ ἡμιολίου τροχαϊκοῦ, ἢ ἐξ ἰαμβικοῦ καὶ τροχαϊκοῦ, ἢ ἐξ ἄλλων δύο κώλων ἀδιάφορον μέτρον ἐχόντων. Τούτων δὲ τῶν ἀσυναρτήτων καὶ ἀνακεκλιμένα τινα καλοῦνται, ἅπερ οὕτω λέγονται διὰ τὸ ἀπὸ τοῦ τέλους πρὸς τὴν ἀρχὴν μετρεῖσθαι, καὶ μὴ ἐν ἑτέρῳ μέτρῳ ἐμπίπτειν.

ΕΚ ΤΗΣ ΠΡΟΚΛΟΥ

ΧΡΗΣΤΟΜΑΘΙΑΣ ΓΡΑΜΜΑΤΙΚΗΣ

ΦΩΤΙΟΥ ΕΚΛΟΓΑΙ.

EX PROCLI

CHRESTOMATHIA GRAMMATICA

PHOTII PATRIARCHÆ C. P.

EXCERPTA.

CUM NOTIS

A. SCHOTTI, P. J. NUNNESII, ET F. SYLBURGII.

ACCEDUNT

INTEGRIORIS OPERIS FRAGMENTA

EX

TYCHSENII BIBLIOTHECA LITT. VETT. ET NOV.

CUM ANIMADVERSIONIBUS

C. G. HEYNII.

ANDREÆ SCHOTTO

ANTIQUITATIS PROPAGATORI DILIGENTISSIMO

FRID. SYLBURGIUS

S. P. D.

QUAS ad Xiphilini et Herodiani editionem suppetias misisti, SCHOTTE præstantissime, serius quidem accepi; tum scilicet cum meas in auctores istos notationes absolvissem. Tamen ne beneficio tuo fraudaretur respublica, telam redorsus, effeci, ut quæ mecum communicasti, suis quæque locis digesta, cum ceteris in publicum prodirent; et quidem nonnusquam cum aliqua accessione. Cum ergo id esset reliquum, ut etiam Procli *χρηστομαθία*, quam Græce ac Latine in Hispania editam *ἐν προσθήκης μέρει* ad me cum ceteris mittebas, per has citeriores regiones diffunderetur, commodiorem ei locum non inveniri posse judicavi, quam si Apollonio, quem eodem tempore præ manibus habebam, annexa, una cum eodem in lucem exiret. Atque ut hoc ipsum plenius ac luculentius a me præstaretur, pervolutatis chartis meis, ejusdem *χρηστομαθίας* quæsivi exemplum, quod a me ante xx annos e magistri mei Henrici Stephani bibliotheca descriptum memineram. Quo reperto, et collatione instituta, deprehendi Stephani exemplum, quod ad duos codices vetustos collatum esset, tuo et plenius esse multo et emendatius. Itaque per istam exemplarium *ἀντεξέτασιν*, quæ in tua editione deerant, supplevi; uncis tamen, ut eo facilius discerni possint, inclusa; quæ vero *διττογραφίαι* occurrebant, eas in marginem Græci textus retuli; sicut tu ad Latini textus oram tua et Nunnesii apposueras scholia; idque ea religione feci, ut quædam etiam

mendi vel suspecta, vel plane rea, non prætermiserim; quippe quod talia vestigia veræ lectionis viam τοῖς εὐστόχοις sæpenumero patefaciant. Eam opellam ut publicæ studiosorum utilitati navandam esse duxi, ita tuæ imprimis censuræ subjicere volui, et qualecumque ad te ἀντίδωρον remittere. Tu pro tua humanitate id in meliorem partem interpretare, et ad alias etiam editiones, quas moliri me intelligis, pari promtitudine, quæ vel in tuis thesauris habes, vel ex amicorum bibliothecis impetrare potes, communicare perge. Vale. Francof. III Non. April. anno Christi MDXC.

SYLBURGII PRÆLOQUIUM AD SUAS IN PROCLUM NOTATIONES.

STEPHANI exemplar, e quo meum me descripsisse supra sum præfatus, cum duobus vett. codd. collatum erat; quorum alter cum Schotti editione consonat; alter ab ea non paucis in locis discrepat. Ad quas diversitates quod attinet, quæ Schotti editioni deerant, ea inde supplevi, uncis, ut discerni possent, inclusa: quæ vero diversam scripturam habebant, pleraque omnia in marginem retuli. Itaque hic ea tantum attingentur, quæ marginis angustia capere istic non poterat. Principio igitur, Stephani codicum alter hoc habet initium; Ἀνεγνώσθη ἐκ τοῦ ἐπιγραφομένου βιβλίου Πρόκλου χρηστομαθίας γραμματικῆς. Ἔστι δὲ τὸ βιβλίον εἰς τέσσαρας διηρημένον λόγους. λέγει μὲν ἐν τῷ πρώτῳ, ὡς αἱ αὐταί εἰσιν ἀρ. et quæ sequuntur. Et exordio huic præfixus numerus λδ'. XXXIIII. forsan Photianæ collectionis ordinem significans: hoc sensu, *Trigesima quarta collectio excerpta est ex eo Procli libro, qui* χρηστομαθία γραμματικὴ *inscribitur.* Nam Photii Bibliotheca (ea enim libri est inscriptio) ex CXC scriptoribus congesta est, ut e catalogo, quem ad me Schottus misit, numerando cognoscitur. Præterea in Stephanei exemplaris margine adnotatum, in indice Bibliothecæ Photianæ, pro Πρόκλου χρηστομαθίας γρ. legi Πρόκλου πολυμαθίας γρ. quæ lectio et ipsa ferri potest; quia verum grammaticum πολυΐστορα et fere πανίστορα esse oportet; eum videlicet qui cum laude veterum scriptorum enarrationem profiteri velit. Χρηστομαθίας autem vocabulum probat is

libellus, qui χρηστομάθειαι ἐκ τῶν Στράβωνος γεωγραφικῶν inscribitur, videnturque eo nomine significari *utiliores doctrinæ ex auctoribus excerptæ:* hoc est, *Notatu digniora cujusque scriptoris capita;* quæ alibi generalius ἐκλογαὶ nominantur.

DE PROCLO JUDICIUM HEN. VALESII *DE CRITICA* I. xx.

PROCLUS quoque Platonicus philosophus criticus fuit non ignobilis: docet id commentarius in Homeri Iliadem et Odysseam, cujus meminit Suidas, et commentarius in Hesiodi opera et dies, qui etiamnum exstat. Quod vero Suidas γραμματικῆς χρηστομαθείας libros eidem Proclo philosopho tribuit, in eo, mea quidem sententia, graviter labitur. Sunt enim hi libri alterius[a] Procli longe antiquioris, ut didici ex commentariis Alexandri Aphrodisiensis in Aristotelis Elenchos. Hic enim non procul ab initio illius commentarii utitur testimonio Athenæi grammatici et Procli in Chrestomathia. Cum igitur constet Alexandrum Aphrodisiensem diu ante Procli philosophi cognomento Diadochi ætatem vixisse, Proclum, qui Chrestomathiam scripsit, a Proclo philosopho differre necesse est. Suppetunt etiam alia argumenta, ut Proclum philosophum in criticis exercitatum fuisse credamus. Nam quicumque commentarios illius in Timæum et in Remp. Platonis attente perlegerit, eum criticum fuisse minime dubitabit. Solet enim primo quidem exponere, quod sit argumentum operis, deinde quis character, et quæ forma dicendi, quod critici munus esse nemo est qui ignorat. Præterea cum in

[a] Hoc primus, quod sciam, observavit Valesius. Erravit igitur Andreas Schottus, a quo hæc Procli Chrestomathia cum illius et Nunnesii notis edita legitur post ejus Observationes Humanas, qui p. 15. in notis, ubi ex Suida recenset Procli scripta, et hoc opus etiam ad Proclum philosophum retulit; in qua sententia etiam est Fabric. B. G. V. c. 26. p. 521. Casaubonus autem in notis ad Diogenem Laert. III. p. 37. testatur penes se exstare χρηστομαθείας ἐκ τῆς Φωτίου βιβλιοθήκης non adspernandas, quas lucem non vidisse putat. Sed forte eædem fuerint cum Procli aut Helladii Chrestomathiis ex Photii Bibliotheca excerptis. P. BURMANNUS SECUNDUS. Alexandrum citasse Proclum ἐν τῇ τῶν ἑορτῶν ἀπαριθμήσει non ἐν τῇ χρηστομαθίᾳ notat Clintonus Fast. Rom. T. II. p. 321. ideoque Valesium infirmo argumento usum esse. Vid. inf. p. 344. n. f.

libris theologicis et mysticis, cujusmodi sunt Platonis libri, duo fere sint sensus, alter simplicior et apertior, qui ex verbis elicitur, alter secretior et profundior, qui vulgo anagogicus et allegoricus vocatur: Proclus quidem hunc ubique sectari se profitetur, et Longinum philosophum, aliosque reprehendit interpretes, qui verbis Platonis nimium erant addicti, et res ipsas, sic enim loqui solet, id est arcana mysteria, negligebant. Idem tamen sensum illum verborum exponit diligentissime, tametsi illum spernere videatur, ac præ altero nihili ducere; et quoties aliqua vox occurrit obscurior, quæ lectorem antiquitatis ignarum possit morari, eam studiose explicat. Argumento sit quod de Bendidiis et de Apaturiis ac de solemnitate, quæ κουρεῶτις ab Atheniensibus dicebatur, observat in Timæum.

ΠΡΟΚΛΟΥ

ΧΡΗΣΤΟΜΑΘΙΑ.

[a]ΑΝΕΓΝΩΣΘΗΣΑΝ *ἐκ τῆς* Πρόκλου *χρηστομαθίας γραμματικῆς ἐκλογαί.*

Ἔστι δὲ τὸ βιβλίον εἰς δ' διῃρημένον λόγους· καὶ ἐν μὲν τῷ πρώτῳ λέγει, ὡς [b]αἱ αὐταί εἰσιν ἀρεταὶ [c]τοῦ λόγου καὶ ποιήματος, παραλλάσσουσι δὲ ἐν τῷ μᾶλλον καὶ ἧττον· καὶ ὅτι τοῦ πλάσματος, τὸ μέν ἐστιν ἰσχνὸν, τὸ δὲ ἁδρὸν, τὸ δὲ μέσον· καὶ τὸ μὲν ἁδρὸν ἐκπληκτικώτατόν ἐστι, καὶ κατεσκευασμένον μάλιστα, καὶ ποιητικὸν [d]ἐπιφαῖνον κάλλος· τὸ δὲ ἰσχνὸν, τὴν τροπικὴν μὲν καὶ φιλοκατάσκευον σύνθεσιν μεταδιώκει, ἐξ ἀνειμένων δὲ μᾶλλον [e]συνήρτηται, ὅθεν ὡς ἐπίπαν τοῖς γοεροῖς ἄριστά πως [f]ἐφαρμόττει· τὸ δὲ μέσον καὶ τοὔνομα μὲν δηλοῖ ὅτι μέσον ἐστὶν ἀμφοῖν. Ἀνθηρὸν *δὲ κατ' ἰδίαν οὐκ ἔστι πλάσμα, ἀλλὰ συνεκφέρεται [g]καὶ συμμέμικται τοῖς εἰρημένοις· ἁρμόζει δὲ τοπογραφίαις, καὶ λειμώνων [h]ἢ ἀλσῶν ἐκφράσεσιν.* Οἱ *δὲ τῶν*

[a] Incipit MS. H. *ἀνεγνώ ἐκ τοῦ ἐπιγραφομένου βιβλίου Πρόκλου χρηστομαθίας γραμματικῆς*, omisso *ἐκλογαί*. Deinde, *Ἔστι δὲ τὸ βιβλίον εἰς τέσσαρας διῃρημένον λόγους. Λέγει μὲν ἐν τῷ πρώτῳ, ὡς αἱ αὐταί εἰσιν κ. τ. λ. τὸ παρὸν βιβλίον διαιρεῖται εἰς δ'* al.

[b] *αἱ αὐταί*] *αὗται* B.C.

[c] *τοῦ* deest R.B.C.

[d] *ἐμφαῖνον*] *ἐπιφαῖνον* H. in textu.

[e] *συνῆρται* B.C.H. marg. Mox pro *γοεροῖς* Schottus conjicit *γεωργικοῖς*.

[f] *ἐφαρμόζει*] *ἐφαρμόττει* H. textu. A.

[g] *καὶ συμμέμικται*] Hæc verba addita sunt ex H. marg. qui delet *συνεκφέρεται*.

[h] *καὶ ἀ.*] *ἢ ἀλσῶν* H. textu. A.

εἰρημένων ἀποσφαλέντες [i]*εἰδῶν, ἀπὸ μὲν τοῦ ἁδροῦ εἰς τὸ σκληρὸν καὶ ἐπηρμένον ἐτράπησαν· ἀπὸ δὲ τοῦ ἰσχνοῦ, εἰς τὸ ταπεινόν· ἀπὸ δὲ τοῦ μέσου, εἰς τὸ ἀργὸν καὶ ἐκλελυμένον.*

2 *Διαλαμβάνει δὲ* [k]*καὶ περὶ κρίσεως ποιήματος· ἐν ᾧ παραδίδωσιν* [l]*ἤθους καὶ πάθους διαφοράν.* Καὶ ὅτι ΤΗΣ ΠΟΙΗΤΙΚΗΣ, ΤῸ ΜῈΝ ἘΣΤΙ ΔΙΗΓΗΜΑΤΙΚῸΝ, ΤῸ ΔῈ ΜΙΜΗΤΙΚΌΝ· *καὶ τὸ μὲν διηγηματικὸν ἐκφέρεται* ΔΙ' ἜΠΟΥΣ, ἸΆΜΒΟΥ *τε, καὶ* [m]ἘΛΕΓΕΊΟΥ *καὶ* ΜΈΛΟΥΣ· *τὸ δὲ μιμητικὸν,* ΔΙᾺ ΤΡΑΓῼΔΊΑΣ, ΣΑΤΎΡΩΝ *τε, καὶ* ΚΩΜῼΔΊΑΣ.

3 Καὶ ὅτι τὸ [n]ἜΠΟΣ *πρῶτον μὲν ἐφεῦρε* [o]*Φημονόη ἡ*

[i] *εἰδῶν*] *ἰδεῶν* H. marg. A.

[k] *καὶ περὶ κρίσεως ποιήματος* B. C.H. in marg. om. R. Nunnesius conjicit *Διαλαμβάνει δὲ ἐν τῷ β, καὶ παραδίδωσιν.*

[l] *τις ἤθους—διαφορὰ* ed. Bekker. cum MS. A.

[m] *ἐλεγείας*] *ἐλεγείου* H. textu, R.

[n] *ἔπος*] Sic A.H. cum *μέλος* in marg. *μέλος* B.C. Mox *Φημονόη* repositum pro *Φιμονόη* Schotto auctore. Eustathius Prooem. ad Il. p. 3, 5 ab im.=3, 12. *ἰδίως ἔπος, ὁ ἔμμετρος λόγος. οὕτω καὶ ποιεῖν ὅλως μὲν τὸ πράττειν. καὶ ἔστιν ἡ χρῆσις παρὰ τῷ ποιητῇ πολλαχοῦ. ἰδιάζεται δὲ ἡ λέξις καὶ ἐπὶ τῶν ῥαψῳδούντων, κατά τι ἐξαίρετον, διὰ τὸ τῆς ἐν αὐτοῖς πράξεως ταύτης ἐξέχον ὡς θεῖον καὶ ἔλλογον. ὅθεν καὶ συνθέμενοί τινες τὸ ἔμμετρον ἔπος, καὶ τὸ ῥαψῳδικῶς ποιεῖν, ὠνόμασαν συνθέτως ἐποποιοὺς, τοὺς ἐν ἁπλότητι λεγομένους καὶ ποιητάς, μάλιστα δὲ τοὺς ἐν ἑξαμέτρῳ τόνῳ ἡρωΐζοντας. ὧν κατάρξαι λέγεταί τις Φημονόη γυνὴ προφῆτις Ἀπόλλωνος, ἐφευροῦσα, φασὶν, αὐτὴ πρώτη τὸ ἔπος, κληθὲν οὕτω κατὰ τοὺς παλαιοὺς, οὐ μόνον καθ' ὑπεροχὴν δι' ἣν τὸ ἑξάμετρον ἰδιώσατο τὴν κοινὴν προσηγορίαν τοῦ λόγου, ἀλλὰ καὶ διότι ἕπονταί φασι τὰ πράγματα τοῖς χρησμοῖς. εἰ δὲ ἡ τοιαύτη ἐτυμολογία δασύνεσθαι ἀπαιτεῖ τὸ ἔπος, ἀλλ' ἔστι συνηγορῆσαι καὶ τῇ ψιλώσει τούτου πιθανῶς εἴ τις βουληθείη. τίς δὲ ἡ ἐποποιΐα, καὶ ὅτι ποιήσεως εἶδος καὶ αὐτὴ ὡς καὶ ἡ τραγῳδία καὶ ἡ κωμῳδία καὶ ἡ τῶν κυκλίων ποιημάτων καὶ ἡ λυρικὴ καὶ ἕτεραι, ζητητέον ἐν ἄλλοις. καὶ οὕτω μὲν κατέστη τὸ ποιεῖν, ἐξ οὗ καὶ ὁ ποιητὴς καὶ ἡ ποίησις· καὶ δῆλον ὅτι ποιεῖν παρὰ τοῖς παλαιοῖς ὡς καὶ ὁ κωμικὸς ἐμφαίνει, τὸ ποιητικῶς, ἤγουν ἐμμέτρως, ἀείδειν καὶ γράφειν. ὡς τὸ,* (Aristoph. Thesm. 200.) *ἐποίησάς ποτε, ὦ Εὐριπίδη, ἀντὶ τοῦ, ἔγραψας ἐν τῇ ποιήσει σου. καὶ τοίνυν καὶ ποιητὴς, ὁ οὕτω γράφων, ὁποῖος ἂν καὶ εἴη εἴτε κωμικὸς, εἴτε ὁστισοῦν ἕτερος, ἐξόχως δὲ, Ὅμηρος. ὡς γὰρ εἴ τις εἴπῃ ὁ ῥήτωρ, ὁ Δημοσθένης εὐθὺς ὑπερεχόντως ἐνοήθη, κἂν τὸν λυρικὸν ἀκούσωμεν, εἰς τὸν Πίνδαρον ἀναγόμεθα, οὕτω καὶ τὸν ποιητὴν ἀκούσας τις μετὰ τοῦ ἄρθρου, τὸν Ὅμηρον ἐνόησε. διὰ τί; ὅτι ἐν αὐτῷ ἀρετὴ πᾶσα ποιήσεως, καὶ διότι σπερματικῶς ἀρχὴ καὶ καθηγητὴς αὐτὸς πᾶσι γέγονε ποιηταῖς τοῦ εἶναι*

Ἀπόλλωνος προφῆτις, ἑξαμέτροις χρησμοῖς [p] χρησαμένη· καὶ ἐπειδὴ τοῖς χρησμοῖς τὰ πράγματα εἵπετο καὶ σύμφωνα ἦν, ἔπος τὸ ἐκ [q] τῶν μέτρων κληθῆναι. Οἱ δέ φασιν, ὅτι διὰ τὴν κατασκευὴν καὶ τὴν ἄγαν ὑπεροχὴν, τὴν ἐν τοῖς ἑξαμέτροις θεωρουμένην, τὸ κοινὸν ὄνομα παντὸς [r] τοῦ λόγου τὸ ἑξάμετρον ἰδιώσατο, [s] καὶ ἐκλήθη ἔπος· καθάπερ καὶ ὁ [t] Ὅμηρος [u] τὸν ποιητὴν, καὶ ὁ Δημοσθένης τὸν ῥήτορα [x] ᾠκειώσατο· ἐπεὶ καὶ [y] τὰ τρίμετρα ἔπη [z] προσηγόρευον. (A.) *Γεγόνασι δὲ τοῦ ἔπους ποιηταὶ, [a] κράτιστοι μὲν Ὅμηρος, Ἡσίοδος, [b] Πείσανδρος, Πανύασις, Ἀντίμαχος. Διέρχεται δὲ τούτων, ὡς οἷόν τε, [c] καὶ γένος [d] καὶ πατρίδας, καί τινας [e] ἐπὶ μέρους πράξεις.*

ὅπερ λέγονται. Nonnumquam vero voce *ἔπος* ad alia carminum genera denotanda utebantur grammatici. Schol. Aristoph. Thesm. 419. *τοὔπος τοδί] ἀντὶ τοῦ τὸν ἴαμβον τοῦτον. πᾶν γὰρ μέτρον οἱ παλαιοὶ ἔπος ἐκάλουν.* Galenus T. V. p. 457. ed. Basil. *τὸ παρὰ τῷ Σιμωνίδῃ γεγραμμένον ἐν τοῖσδε τοῖς ἔπεσιν· Οὐκ ἄν τις οὕτω δασκίοις ἐν οὔρεσιν Ἀνὴρ λέοντ' ἔδεισεν, οὐδὲ πάρδαλιν, Μοῦνος στενυγρῇ συμπεσὼν ἐν ἀτραπῷ.* Legi merentur Diomedes p. 480. Marius Victorinus p. 2493. Plura Santenius ad Terent. Maur. p. 224.

[o] De Phœmonoe vid. Fabricius Bibl. Gr. Lib. I. 25, 4. necnon Santen. ad Terent. Maur. p. 139.

[p] *χρησαμένη* om. Etymol. p. 327, 53. qui pergit, *οἷς ἐπεὶ τὰ πράγματα εἵπετο, ἔπος τὸ ἐκ μέτρων ἐκαλεῖτο. ἢ διὰ τὴν κ.*

[q] Forte leg. *τὸ ἐκ τῶν ἑξαμέτρων*, quod hexametris constat. SYLBURG. *ἐξ μέτρων* conj. Santenius ad Terent. Maur. p. 222.

[r] *τοῦ* om. Etym.

[s] *καὶ ἐκλήθη ἔπος* om. Etym.

[t] *ὁ Ὅμηρος*] *Ὅμηρον* Etym. et mox *Δημοσθένην*. Tum *ᾠκειώσατο* om.

[u] *τὸν ποιητὴν*] *ὁ ποιητὴς* B C.

[x] *ᾠκειώσατο* om. A.H. in textu.

[y] *τὰ* om. B.C. H. marg. R.

[z] *προσηγόρευον*] *προσηγόρευσαν* Etym.

(A.) Vide Excerpta ex Procli opere dum adhuc integrum esset a nobis recusa ad calcem hujus libri.

[a] *κράτιστος*] *κράτιστοι* A.H. in textu.

[b] *Πίσανδρος* deest B.C. H. marg. et R. De Pisandro vide Fabricii Bibl. Gr. ed. Harles. T. I. p. 590. IV. p. 265. VIII. p. 63. De Panyasi ibid. I. p. 734. De Antimacho ibid. II. p. 104. Plura dabunt Scaliger ad Catullum p. 99. Pierson. ad Herodian. p. 439.

[c] *ἐστι γένος τε*] *καὶ γένος* A. apud Bekker.

[d] *καὶ πατρίδας* om. B. C. H. marg. et R.

[e] *ἐπιμέτρους* R. edd. Sylburg. et Schott.

4 Διαλαμβάνει δὲ καὶ περὶ τοῦ λεγομένου [f] ΕΠΙΚΟΥ
ΚΥΚΛΟΥ, ὃς ἄρχεται μὲν ἐκ τῆς Οὐρανοῦ καὶ Γῆς μυθο-
λογουμένης μίξεως, ἐξ ἧς [g] αὐτῷ καὶ τρεῖς [h] παῖδας
ἑκατοντάχειρας καὶ τρεῖς [i] γεννῶσι Κύκλωπας. [k] Δια-
πορεύεται δὲ τά τε ἄλλως περὶ θεῶν τοῖς Ἕλλησι μυθο- 341
λογούμενα, καὶ εἴ που τι καὶ πρὸς ἱστορίαν ἐξαληθί-
ζεται. [l] Καὶ περατοῦται [m] ὁ ἐπικὸς κύκλος, ἐκ διαφόρων
ποιητῶν συμπληρούμενος, [n] μέχρι τῆς ἀποβάσεως Ὀδυσ-
σέως τῆς εἰς Ἰθάκην· ἐν ᾗ καὶ ὑπὸ τοῦ παιδὸς [o] Τηλε-
γόνου, ἀγνοοῦντος [p] ὡς πατὴρ εἴη, κτείνεται. Λέγει δὲ
ὡς τοῦ ἐπικοῦ κύκλου τὰ ποιήματα διασώζεται, καὶ
σπουδάζεται τοῖς πολλοῖς, οὐχ οὕτω διὰ [q] τὴν ἀρετὴν, ὡς
διὰ τὴν ἀκολουθίαν τῶν ἐν αὐτῷ πραγμάτων. [r] Λέγει
καὶ τὰ ὀνόματα καὶ τὰς πατρίδας τῶν πραγματευσα-
μένων τὸν ἐπικὸν κύκλον.

[f] Vide Fabricii Bibl. Gr. II. 2, 24. T. I. p. 378. ed. Harles. Basilius in Schol. ad Gregor. Naz. MS. Paris 573. fol. 18. Ἐγκύκλιον παίδευσίν φασι καὶ τὴν καθόλου, οἷον γραμματικὴν καὶ ποιητικὴν καὶ ῥητορικὴν καὶ φιλοσοφίαν καὶ μαθηματικὴν, καὶ πᾶσαν ὡς ἔπος εἰπεῖν τέχνην τε καὶ ἐπιστήμην, καθ' ἃς ὥσπερ διά τινος κύκλου δεῖ τὸν σοφὸν περιϊέναι. Φασὶ δὲ καὶ ἰδικῶς ἐγκύκλιον τὴν ποιητικὴν, περὶ ἧς καὶ Πρόκλος ὁ Πλατωνικὸς ἐν μονοβιβλίῳ περὶ κύκλου ἐπικοῦ γράψας, καὶ ποιητῶν διέξεισι τὴν ἀρετὴν καὶ τὰ ἴδια, καὶ Ἀριστοτέλης ἐν τῇ λογικῇ τί φη τὰ ἔπη κύκλους.

[g] αὐτῷ] αὐτοὶ Heynius post Salmasium ad Solin. p. 595 A.

[h] παῖδας] παῖδας γινώσκουσιν (vel γινόσκουσιν) B.C. H. marg. edd. vett. γεννίσκουσιν Salmas.

[i] γεννῶσι K.] Sic A.H. τρεῖς ἑτέρους ἀποτίκτουσι B.C. edd. vett. Etymol. M. p. 327, 38. Ἐκ τοῦ περὶ χρηστομαθίας Πρόκλου· ὁ μέντοι ἐπικὸς κύκλος ἄρχεται μὲν ἐκ τῆς μυθολογουμένης Οὐρανοῦ καὶ Γῆς μίξεως, ἀφ' ἧς Ἑκατοντάχειρες γίνονται.

[k] Διαπορεύεται δὲ τά τε ἄλλως περὶ θεῶν τοῖς Ἕ.] διεξέρχεται δὲ περὶ θεῶν τά τε ἄλλα τ. Ἕ. B. C. H. marg. edd.

[l] Καὶ περατοῦται] περατοῦται δὲ Etym. ubi om. ὁ ἐπικὸς κύκλος, et mox om. ib. τῆς ἀποβάσεως et τῆς εἰς Ἰθάκην. Pergit deinde, ὧν καὶ ὀνόματα καὶ πατρίδας φησὶν ὁ αὐτός. Σπουδάζεσθαι δὲ τὰ ἐπικοῦ κύκλου τὰ ποιήματα, οὐχ οὕτω κ.τ.λ.

[m] Sic A.H. in textu. ὁ ἐπικὸς λόγος σ. ἐ. δ. π. B.C. et al.

[n] Sic A.H. in textu. μέχρι τῆς εἰς Ἰθάκην ἀποβάσεως Ὀδυσσέως B. C. et al.

[o] Sic H. textu. Τηλέγονος ἀγνοούμενος B.C. et al.

[p] ὡς πατὴρ εἴη om. Bekker. cum A.

[q] τὴν ἀρετὴν] τὴν om. B.C.

[r] Λέγει καὶ τὰ—ποιημάτων. Desunt H. marg. R.B.C. δὲ post λέγει add. Bekker. e MS. Par.

5 (B.) *Λέγει δὲ καὶ περί τινων* [s]ΚΥΠΡΙΩΝ *ποιημάτων· καὶ ὡς οἱ μὲν ταῦτα εἰς Στασῖνον ἀναφέρουσι Κύπριον, οἱ δὲ* [t]*Ἡγησίαν τὸν Σαλαμίνιον αὐτοῖς ἐπιγράφουσιν, οἱ δὲ Ὅμηρον, δοῦναι δὲ ὑπὲρ τῆς θυγατρὸς Στασίνῳ, καὶ διὰ τὴν αὐτοῦ πατρίδα* [u]*Κυπρία τὸν πόνον ἐπικληθῆναι· ἀλλ' οὐ* [x]*τίθεται ὁ συγγραφεὺς τῇ αἰτίᾳ ταύτῃ·* [y]*μηδὲ γὰρ Κύπρια προπαροξυτόνως ἐπιγράφεσθαι τὰ ποιήματα.*

6 *Τὴν δὲ* ἐλεγείαν *συγκεῖσθαι μὲν ἐξ ἡρῴου καὶ* [z]*πενταμέτρου στίχου· ἁρμόζειν δὲ τοῖς κατοιχομένοις·* [a]*ὅθεν καὶ τοῦ ὀνόματος ἔτυχε. Τὸ γὰρ* θρῆνος [b]ἔλεγον *ἐκάλουν οἱ παλαιοί· καὶ τοὺς τετελευτηκότας δι' αὐτοῦ εὐλόγουν. Οἱ μέντοι* [c]*γε μεταγενέστεροι* [d]*τῇ ἐλεγείᾳ πρὸς* [e]*διαφόρους ὑποθέσεις ἀπεχρήσαντο. Λέγει δὲ καὶ ἀριστεῦσαι* [f]*τῷ μέτρῳ* [g]*Καλλῖνόν τε τὸν Ἐφέσιον, καὶ* [h]*Μίμνερμον τὸν Κολοφώνιον· ἀλλὰ καὶ τὸν Τηλέφου*

[s] ΚΥΠΡΙ'ΩΝ] Fabricii Bibl. Gr. II. 2. 16. T. I. p. 382. ed. Harles. Schol. ms. in Clementis Al. Protrept. p. 26. *Κύπρια ποιήματα εἰσιν τὰ τοῦ κύκλου, περιέχει δὲ ἁρπαγὴν Ἑλένης· ὁ δὲ ποιητὴς αὐτῶν ἄδηλος, εἷς γάρ ἐστι τῶν κυκλικῶν. Κυκλικοὶ δὲ καλοῦνται ποιηταὶ οἱ τὰ κύκλῳ τῆς Ἰλιάδος ἢ τὰ πρῶτα ἢ τὰ μεταγενέστερα ἐξ αὐτῶν τῶν Ὁμηρικῶν συγγράψαντες.*

[t] *Ἡγησίαν* Schott. ex Athen. *Ἡγησῖνον* A.H. *Ἡγήσιον* alii.

[u] Margo H. sic: "In alt. *κύ*-"*πρία* legitur utrobique." *κύπρία* A.

In altero Stephani codice *Κύπρία* scriptum, accentu gemino, in prima pariter et secunda, qua duplicatione alibi quoque notari solent ambigua; et accentus variationem hic probant quæ mox sequuntur. SYLBURG.

[x] *τίθεσθαι* pro *assentiri*, frequens est etiam apud Zosimum. SYLBURG. Tum *ὁ συγγραφεὺς* om. A.

[y] *μηδὲ γὰρ*] *γὰρ* om. C.

[z] *πενταμέτρου στίχου*] *πενταστίχου* Etymol. MS. Dorv.

[a] *ὅθεν—εὐλόγουν*] *καὶ εὐλογεῖσθαι μὲν ὑπ' αὐτοῦ τούτους* Etymol.

[b] *ἔλεγος* H. in marg.

[c] *γε* add. A.

[d] *τοῖς ἐλεγείοις* B.C. *ἐλεγεῖα* A. H. marg.

ib. *τῇ ἐλεγείᾳ πρὸς διαφόρους ὑποθέσεις*] *ἐπὶ διαφόροις ὑποθέσεσιν αὐτῷ* Etymol.

[e] *διαφόρους*] An *ἀδιαφόρους*? Santen. ad Terent. Maur. p. 318.

[f] *τῷ μέτρῳ*] *τῷ μέτρῳ Ἐλεγείῳ* Bentleius Callim. Fr. LXVI. p. 439. ed. Ernest.

[g] Vide Fabricii Bibl. Gr. T. I. p. 726. IV. p. 468. ed. Harles.

[h] Fabric. Bibl. Gr. T. I. p. 733. ed. Harles.

[i]Φιλητᾶν τὸν Κῷον, καὶ Καλλίμαχον τὸν Βάττου. Κυρηναῖος δὲ οὗτος ἦν.

7 Ἀλλὰ γὰρ καὶ τὸν ἴαμβον τάττεσθαι μὲν ἐπὶ λοιδο-
ρίας τὸ παλαιόν· καὶ γὰρ καὶ τὸ ἰαμβίζειν κατά τινα 342
γλῶσσαν λοιδορεῖν ἔλεγον· οἱ δὲ ἀπό τινος Ἰάμβης θεραπαινίδος, Θρᾴττης τὸ γένος. Ταύτην φασὶ, τῆς Δήμητρος ἀνιωμένης ἐπὶ τῇ [k]τῆς θυγατρὸς ἁρπαγῇ, προσελθεῖν [l]περὶ τὸν Ἐλευσῖνα ἐπὶ τῇ νῦν Ἀγελάστῳ καλουμένῃ πέτρᾳ [m]καθημένην, καὶ διὰ τινῶν χλευασμάτων εἰς γέλωτα προαγαγέσθαι [n]τὴν θεόν. Ἔοικε δὲ ὁ ἴαμβος τὸ μὲν παλαιὸν ἐπὶ τῶν εἰς ψόγον καὶ ἔπαινον γραφομένων ὁμοίως λέγεσθαι· ἐπεὶ [o]δέ τινες ἐπλεόνασαν ἐν ταῖς κακολογίαις τὸ μέτρον, ἐκεῖθεν τὸ ἰαμβίζειν εἰς τὸ ὑβρίζειν ὑπὸ τῆς συνηθείας ἐκπεσεῖν, ὥσπερ ἀπὸ τῶν κωμικῶν τὸ κωμῳδεῖσθαι. Ἰάμβων δὲ ποιηταὶ, [p]Ἀρχίλοχός τε ὁ Πάριος ἄριστος, καὶ [q]Σιμωνίδης ὁ Ἀμόργιος, ἢ, ὡς ἔνιοι, Σάμιος· καὶ Ἱππῶναξ ὁ Ἐφέσιος· ὧν ὁ μὲν πρῶτος ἐπὶ Γύγου, ὁ δὲ ἐπ' [r]Ἀνανίου τοῦ Μακεδόνος, [s]ὁ δὲ Ἱππῶναξ κατὰ Δαρεῖον ἤκμαζεν.

8 [t]Περὶ δὲ μελικῆς ποιήσεως [u]φησὶν ὡς πολυμερεστάτη τε καὶ διαφόρους ἔχει τομάς. ἃ μὲν γὰρ αὐτῆς μεμέρισται θεοῖς, ἃ δὲ ἀνθρώποις, ἃ δὲ εἰς τὰς [x]προσπι-

[i] φίλητα H. marg. et edd. φιλῆτα B.C. v. Fabric. Bibl. Gr. T. II. p. 874. IV. p. 490. ed. Harles.
[k] τῆς θυγατρὸς τῇ ἁρπαγῇ B.C.
[l] ἐπὶ] περὶ A. H. in textu.
[m] καθημένην] καθημένῃ Bekker.
[n] τὴν] τὸν B.C.
[o] δέ] δὴ B.C.
[p] Fabric. Bibl. Gr. II. 15, 16. T. II. p. 107. ed. Harles.
[q] Fabric. Bibl. Gr. II. 15. 55. T. II. p. 142. ed. Harles.
[r] Leg. Ἀμύντου ex Eusebii Chronico. SYLBURG. Ἀργαίου Clinton. Fast. Hellen. T. I. p. 179. Adde Brink. in Schneidewini Philol. VI. p. 80.
[s] Fabric. Bibl. Gr. II. 15, 32. T. II. p. 122. ed. Harles. Ἱππῶναξ δὲ A.H. in textu.
[t] Περὶ δὲ] Leg. Salmasius in Julium Capit. p. 70.
[u] φησὶν] φασὶν B.C.
[x] προσπιπτούσας] προπιπτούσας B.C.

πτούσας περιστάσεις. Καὶ εἰς θεοὺς μὲν ἀναφέρεσθαι ὝΜΝΟΝ, [y]ΠΡΟΣΌΔΙΟΝ, ΠΑΙᾺΝΑ, ΔΙΘΎΡΑΜΒΟΝ, ΝΌΜΟΝ, ἈΔΩΝΊΔΙΑ, ἸΌΒΑΚΧΟΝ, [z]ὙΠΌΡΧΗΜΑΤΑ· εἰς δὲ ἀνθρώπους, ἘΓΚΏΜΙΑ, [a]ἘΠΙΝΊΚΙΑ, ΣΚΟΛΙᾺ, ἘΡΩΤΙΚᾺ, ἘΠΙΘΑΛΆΜΙΑ, ὙΜΕΝΑΊΟΥΣ, 343 ΣΊΛΛΟΥΣ, ΘΡΉΝΟΥΣ, ἘΠΙΚΉΔΕΙΑ· εἰς θεοὺς δὲ καὶ ἀνθρώπους [b]ΠΑΡΘΕΝΕῖΑ, ΔΑΦΝΗΦΟΡΙΚᾺ, ὈΣΧΟΦΟΡΙΚᾺ, ΕὐΚΤΙΚΆ· ταῦτα γὰρ εἰς θεοὺς γραφόμενα καὶ ἀνθρώπων περιείληφεν ἐπαινούς. Τὰ δὲ εἰς τὰς προσπιπτούσας περιστάσεις, οὐκ ἔστι μὲν εἴδη τῆς μελικῆς, ὑπ' αὐτῶν δὲ τῶν ποιητῶν ἐπικεχείρηται. Τούτων δέ ἐστι ΠΡΑΓΜΑΤΙΚᾺ, ἘΜΠΟΡΙΚᾺ, ἈΠΟΣΤΟΛΙΚᾺ, ΓΝΩΜΟΛΟΓΙΚᾺ, ΓΕΩΡΓΙΚᾺ, ἘΠΙΣΤΑΛΤΙΚΆ.

9 Καί φησι τὸν ὝΜΝΟΝ μὲν ὠνομάσθαι ἀπὸ τοῦ [c]ὑπόμνησίν τινα εἶναι, καὶ οἱονεὶ εἰς μνήμην τινὰ καὶ ὑπόμνησιν ἄγειν τὰς πράξεις τῶν ὑμνουμένων, ἢ ἀπὸ τοῦ ὕδειν αὐτὰς, ὅπερ ἐστὶ λέγειν. Ἐκάλουν δὲ καθόλου πάντα τὰ εἰς τοὺς [d]ὑπηρέτας γραφόμενα ὕμνους· διὸ καὶ τὸ [e]προσόδιον καὶ τὰ ἄλλα τὰ προειρημένα φαίνονται ἀντιδιαστέλλοντες τῷ ὕμνῳ, ὡς εἴδη πρὸς γένος· καὶ γάρ ἐστιν [f]αὐτῶν ἀκούειν γραφόντων ὕμνος προσοδίου, ὕμνος ἐγκωμίου, ὕμνος παιᾶνος, καὶ τὰ ὅμοια.

[y] ΠΡΟΣΩ'ΙΔΙΟΝ] προσόδιον Bekker.

[z] 'ΥΠΟΡΧΗ'ΜΑΤΑ] ὑπεροχήματα B.C.

[a] 'ΕΠΙΝΙ'ΚΙΟΙ. Congruentius ἐπινίκια, vel potius ἐπινίκιον sc. ὕμνον, ut infra. SYLBURG. ἐπίνικοι A. Sylb. marg. Edidi ἐπινίκια. Bekker. legerit ἐπινίκους.

[b] ΠΑΡΗΕ'ΝΙΑ] Dedi παρθενεῖα. Vid. Suid. in v.

[c] H. sic: *ὑπὸ μῶμον τινα εἶναι καὶ τοῦτον εἰς μνήμην ^ καὶ ὑπόμνησιν ἄγειν. *γρ. ὑπόμνησιν τινα ^ οἱονεὶ τινα. Sylburgius in margine sic: "ὑπόμονόν τινα εἶναι, καὶ οἷον εἰς "μν." Et in notis: "In marginali lectione, alter Stephani "codex habet ὑπόμωμον τινα, quæ "scriptura, quoniam contrarium "quendam sensum habet, ego ex "Etymologo ὑπόμονον reposui; "quamquam aptius fortassis ὑπόμνημον." ὑπὸ μῶμον A. Orion Theb. p. 155. Ὕμνος οἷον ὑπόμονός τις ὢν, καθὸ εἰς ὑπομονὴν καὶ μνήμην ἄγει τὰς τῶν ἐπαινουμένων πράξεις.

[d] f. ἐναρέτους, Sylburg. ὑπὲρ ἡμᾶς Bekkerus. Orion Theb. p. 155, 26. πάντα εἰς τοὺς ὑπερέχοντας γραφόμενα ὕμνους ἀπεφαινόμεθα.

[e] προσῴδιον] προσόδιον Bekker. Eumeli προσόδιον ἐς Δῆλον memorat Pausanias IV. 33. Vid. Boeck. Fragm. Pind. T. III. p. 586.

[f] ὕμνους προσῳδίους καὶ ὕμνους ἐγκωμίους καὶ ὕμνους παιᾶνας] Alter

10 Ἐλέγετο δὲ τὸ ΠΡΟΣΟ͂ΔΙΟΝ, ἐπειδὰν προσίασι τοῖς βωμοῖς ἢ ναοῖς, καὶ ἐν τῷ προσιέναι ᾔδετο πρὸς αὐλόν· ὁ δὲ κυρίως ὕμνος πρὸς κιθάραν ᾔδετο [g]ἑστώτων.

11 Ὁ δὲ ΠΑΙΆΝ ἐστιν εἶδος ᾠδῆς εἰς πάντας νῦν γραφόμενος θεούς· τὸ δὲ παλαιὸν ἰδίως ἀπενέμετο τῷ Ἀπόλλωνι καὶ τῇ Ἀρτέμιδι, ἐπὶ καταπαύσει λοιμῶν καὶ νόσων ᾀδόμενος· καταχρηστικῶς δὲ καὶ τὰ [h]προσόδια τινὲς παιᾶνας λέγουσιν.

12 Ὁ δὲ ΔΙΘΎΡΑΜΒΟΣ γράφεται μὲν εἰς Διόνυσον, προσ- 344
αγορεύεται δὲ ἐξ αὐτοῦ, ἤτοι διὰ τὸ κατὰ [i]τὴν Νύσαν ἐπ' ἄντρῳ [k]διθύρῳ τραφῆναι τὸν Διόνυσον· ἢ διὰ τὸ λυθέντων τῶν ῥαμμάτων τοῦ Διὸς εὑρεθῆναι αὐτόν· ἢ διότι δὶς δοκεῖ γενέσθαι, [l]ἅπαξ μὲν ἐκ τῆς Σεμέλης, δεύτερον δὲ ἐκ τοῦ μηροῦ. Εὑρεθῆναι δὲ τὸν διθύραμβον Πίνδαρος ἐν Κορίνθῳ λέγει· τὸν δὲ ἀρξάμενον τῆς ᾠδῆς Ἀριστοτέλης [m]Ἀρίονά [n]φησιν εἶναι, ὃς πρῶτος τὸν κύκλιον ἤγαγε χορόν.

13 Ὁ μέντοι ΝΌΜΟΣ γράφεται μὲν εἰς Ἀπόλλωνα, ἔχει δὲ καὶ τὴν ἐπωνυμίαν ἀπ' αὐτοῦ· [o]νόμιμος γὰρ ὁ Ἀπόλλων ἐπεκλήθη· ὅτι τῶν ἀρχαίων χοροὺς ἱστάντων, καὶ πρὸς αὐλὸν ἢ λύραν ᾀδόντων τὸν νόμον, Χρυσόθεμις

Stephani codex habet, αὐτῶν ἀκούειν γραφόντων, Ὕμνος προσῳδίου, Ὕμνος ἐγκωμίου, Ὕμνος παιᾶνος, absolute scilicet positis titulis. Προσῴδιον autem etsi unanimi consensu per ω habent exemplaria, auctorem tamen προσόδιον per omicron scripsisse innuit etymologia quæ mox sequitur. SYLBURG. Orion habet ὕμνος προσῳδιῶν, ὕμνος ἐγκωμίου, ὕμνος παιᾶνος.

[g] ἑστῶσαν A.H. in textu.

[h] προσῴδια] Vid. G. Cuperi Obs. I. 1. p. 5.

[i] τὴν Νύσαν] τὴν om. B.C.

[k] διθυράμβῳ] διθύρῳ Etymol. M. p. 274, 45.

[l] ἅπαξ—καὶ δεύτερον] ἅπαξ μὲν—δεύτερον δὲ A.H.

[m] Fabric. Bibl. Gr. II. 15, 16. β. T. II. p. 110. ed. Harles.
ib. Ἀρίωνα] Ἀρίονα Bekker.

[n] λέγει] φησὶν εἶναι A. Sylb. marg.

[o] A.B.C. H. in textu, νόμιμος γὰρ ὁ Ἀπόλλων· νόμιμος δὲ ἐκλήθη.
Pro νόμιμος alibi legitur νόμιος, cujus vocabuli varias rationes e Græcis pariter et Latinis auctoribus affert Giraldus in Deorum historia. SYLBURG.

[p]ὁ Κρης πρῶτος [q]στολῇ χρησάμενος ἐκπρεπεῖ, καὶ κιθάραν ἀναλαβὼν εἰς μίμησιν τοῦ Ἀπόλλωνος, μόνος ᾖσε νόμον, [r]καὶ εὐδοκιμήσαντος αὐτοῦ διαμένει ὁ τρόπος τοῦ ἀγωνίσματος. Δοκεῖ δὲ [s]Τέρπανδρος μὲν [t]πρῶτος τελειῶσαι τόν νόμον, [u]ἡρώῳ μέτρῳ χρησάμενος· ἔπειτα Ἀρίων ὁ Μηθυμναῖος οὐκ ὀλίγα συναυξῆσαι, αὐτὸς καὶ ποιητὴς καὶ κιθαρῳδὸς γενόμενος. [x]Φρύνις δὲ ὁ Μιτυληναῖος ἐκαινοτόμησεν αὐτόν· τό τε γὰρ ἑξάμετρον τῷ λελυμένῳ συνῆψε, καὶ χορδαῖς [y]τῶν ἑπτὰ πλείοσιν ἐχρήσατο. [z]Τιμόθεος δὲ ὕστερον εἰς τὴν νῦν [a]αὐτὸν ἤγαγε τάξιν.

14 [b]Ἔστιν οὖν ὁ μὲν διθύραμβος κεκινημένος, καὶ πολὺ 345 τὸ ἐνθουσιῶδες μετὰ χορείας ἐμφαίνων, εἰς πάθη κατασκευαζόμενος τὰ μάλιστα οἰκεῖα [c]τῷ θεῷ, καὶ σεσόβηται μὲν καὶ τοῖς ῥυθμοῖς, καὶ [d]ἁπλουστέραις κέχρηται ταῖς λέξεσιν· ὁ δὲ νόμος τοὐναντίον διὰ τῶν [e]θεῶν ἀνεῖται τεταγμένως καὶ μεγαλοπρεπῶς, καὶ τοῖς ῥυθμοῖς ἀνεῖται, καὶ [f]διπλασίαις ταῖς λέξεσι κέχρηται. Οὐ μὴν ἀλλὰ καὶ ταῖς ἁρμονίαις οἰκείαις ἑκάτερος χρῆται· ὁ [g]μὲν γὰρ [h]τὸν Φρύγιον καὶ Ὑποφρύγιον ἁρμόζεται, ὁ

[p] ὁ Κρής] ὁ om. Bekker.

[q] στολῇ] στολὴν B.

[r] εὐδοκιμήσαντος δὲ] καὶ εὐδοκιμήσαντος A.H.

[s] Fabric. B. G. T. I. p. 292. II. p. 158. ed. Harles.

[t] πρῶτος om. B.

[u] ἡρώῳ μέτρῳ] ἡρώων μέτρων B.C.

[x] Fabric. B. G. T. II. p. 134. ed. Harles. Φρύνης B.

[y] πλείοσιν τῶν ἕπτα B.C.

[z] Vide Fabric. B. G. T. II. p. 158. ed. Harles. Tyrwhittum, Twiningium, et Hermannum ad Aristot. Poet. cap. 2.

[a] αὐτὸν add. A.H.

[b] ἔστι δὲ] ἔστιν οὖν A. H. in textu.

[c] τῷ θεῷ A.H. textu. τοῦ θεοῦ marg.

[d] ἁπλουστέρως omisso statim δὲ A.H.

[e] θεῶν deest H. marg. θεῶν alter Stephani codex agnoscit, alter pro eo vacuum habet spatium, [sic B.C.] ut et Schotti editio: Schottus ipse legit ἠθῶν, ut supra. SYLBURG.

[f] διπλασίοις A.H.

[g] μὲν γὰρ] γὰρ om. B.C.

[h] Etsi cum masc. τὸν Φρύγιον καὶ Ὑποφρύγιον subaudiri potest ῥυθμόν: fortassis tamen rectius

νόμος δὲ, τῷ συστήματι τῷ τῶν κιθαρῳδῶν Λυδίῳ. Ἔοικε δὲ [i]ὁ μὲν διθύραμβος ἀπὸ τῆς κατὰ τοὺς ἀγροὺς παιδιᾶς καὶ τῆς ἐν τοῖς πότοις εὐφροσύνης εὑρεθῆναι, ὁ δὲ νόμος δοκεῖ μὲν ἀπὸ τοῦ παιᾶνος ῥυῆναι· ὁ μὲν γάρ ἐστι κοινότερος, εἰς κακῶν παραίτησιν γεγραμμένος, ὁ δὲ ἰδίως εἰς [k]Ἀπόλλωνα· ὅθεν τὸ μὲν ἐνθουσιῶδες οὐκ ἔχει, ὡς ὁ διθύραμβος. Ἐκεῖ μὲν γὰρ [l]μέθαι καὶ παιδιαὶ, ἐνταῦθα δὲ ἱκετεῖαι καὶ πολλὴ τάξις· καὶ γὰρ αὐτὸς ὁ [m]θεὸς ἐν τάξει καὶ [n]συστήματι κατεσταλμένῃ περιέρχεται τὸν κρουσμόν.

15 [o]Ἀδωνίδια δὲ λέγεται, τὰ εἰς Ἄδωνιν ἀναφερόμενα.

16 Ἤιδετο δὲ ὁ ἰόβακχος ἐν ἑορταῖς καὶ θυσίαις Διονύσου, βεβαπτισμένος πολλῷ φρυάγματι.

17 [p]Ὑπόρχημα δὲ τὸ μετ' ὀρχήσεως ᾀδόμενον μέλος ἐλέγετο· καὶ γὰρ οἱ παλαιοὶ τὴν ὑπὸ ἀντὶ τῆς μετὰ πολλάκις ἐλάμβανον. Εὑρετὰς δὲ τούτων [q]λέγουσιν οἱ μὲν Κουρῆτας, οἱ δὲ Πύρρον τὸν Ἀχιλλέως· ὅθεν καὶ Πυρρίχην [r]εἶδός τι ὀρχήσεως λέγουσιν.

18 Ὁ δὲ [s]ἐπίνικος ὑπ' αὐτὸν τὸν καιρὸν τῆς νίκης τοῖς 346 [t]προτεροῦσιν ἐν τοῖς ἀγῶσιν ἐγράφετο.

19 Τὸ δὲ σκολιὸν μέλος ᾔδετο [u]παρὰ τοὺς πότους· διὸ καὶ παροίνιον αὐτὸ ἔσθ' ὅτε καλοῦσιν· ἀνειμένον δέ ἐστι τῇ κατασκευῇ καὶ ἁπλούστατον μάλιστα. Σκο-

fœm. gen. legemus τὴν Φ. subaudito e præcedentibus ἁρμονίας vocabulo. SYLBURG.

[i] ὁ μὲν] μὲν om. B.C.

[k] Ἀπόλλω] Ἀπόλλωνα A. H. textu.

[l] μέθη κ. παιδιὰ] μέθαι καὶ παιδιαὶ A,H. textu.

[m] ὁ θεὸς deest B.C.H. marg.

[n] Hermannus ad Aristot. Poet. p. 90. legit σχήματι κατεσταλμένῳ *modesto ornatu.*

[o] ἈΔΩΝΙ'ΔΕΙΑ Bentleius ad Horatii Serm. I. iii. 7.

[p] ὙΠΟ'ΡΧΗΜΑ] De h. l. vide Salmas. ad Flav. Vopisc. p. 498.

[q] λέγουσιν A.H. φασὶν al.

[r] τι εἶδος] εἶδός τι A.H.

[s] ἘΠΙΝΙ'ΚΙΟΣ] ἐπίνικος A. H. textu.

[t] πρωτεύουσιν] προτεροῦσιν H. textu.

[u] παρὰ] Sic A.H. Alii περί.

λιὸν δὲ εἴρηται, οὐχ, ὡς ἐνίοις [x] ἔδοξε, κατὰ ἀντίφρασιν· [y] τὰ γὰρ κατὰ ἀντίφρασιν, ὡς ἐπίπαν, τοῦ εὐφημισμοῦ στοχάζεται, οὐκ εἰς κακοφημίαν [z] μεταβάλλει τὸ εὔφημον· [a] ἀλλὰ διὰ τὸ προκατειλημμένων ἤδη τῶν αἰσθητηρίων καὶ παρειμένων οἴνῳ τῶν ἀκροατῶν, τηνικαῦτα εἰσφέρεσθαι τὸ βάρβιτον εἰς τὰ συμπόσια, καὶ διονυσιάζοντα ἕκαστον ἀκροσφαλῶς [b] συγκόπτεσθαι περὶ τὴν προφορὰν τῆς ᾠδῆς. Ὅπερ οὖν ἔπασχον αὐτοὶ διὰ τὴν μέθην, τοῦτο τρέψαντες εἰς τὸ μέλος, σκολιὸν ἐκάλουν τὸ ἁπλούστατον.

20 *Τὰ δὲ* ἐρωτικὰ *δῆλον ὅτι γυναικῶν καὶ παίδων καὶ παρθένων ἐρωτικὰς ᾄδει περιστάσεις.*

21 *Καὶ τὰ* ἐπιθαλάμια *δὲ τοῖς ἄρτι θαλαμευομένοις ἅμα οἱ ἠΐθεοι καὶ αἱ παρθένοι ἐπὶ τῶν θαλάμων ᾖδον.*

22 Ὑμέναιον *δὲ ἐν γάμοις ᾄδεσθαί [c] φησι, κατὰ πόθον καὶ ζήτησιν Ὑμεναίου τοῦ Τερψιχόρας, ὅν φασι γήμαντα ἀφανῆ γενέσθαι· οἱ δὲ, κατὰ τιμὴν τοῦ Ἀττικοῦ Ὑμεναίου· τοῦτον γάρ φησι [d] ποτὲ διώξαντα ἀφελέσθαι κούρας Ἀττικὰς λῃστῶν. Ἐγὼ δὲ οἶμαι βίου [e] τινὰ εὐτυχοῦς προαναφώνησιν ὑπάρχειν, καὶ συνεύ-* 347 *χεσθαι τοῖς [f] συνιοῦσι πρὸς γάμου κοινωνίαν μετὰ φιλοστοργίας, Αἰολικῇ παραπλέκοντας τὴν εὐχὴν διαλέκτῳ, οἷον ὑμεναίειν καὶ ὁμονοεῖν τούτους, ἀεὶ ὁμόσε [g] ναίοντας.*

23 *Ὁ δὲ* Σίλλος *λοιδορίας καὶ διασυρμοὺς [h] πεφεισμένως ἀνθρώπων ἔχει.*

[x] *ἤρεσε*] *ἔδοξε* A.B.C.H.
[y] *τὰ κ. ἀντίφρασιν* delet H. marg. et om. B.C.
[z] *μεταλαμβάνει*] *μεταβάλλει* A.H.
[a] *ἀλλὰ* om. B.C. Mox *ἤδη* A. pro *οἴνῳ*.
[b] *συγκόπτεσθαι*] *συγκύπτεσθαι* Schottus in marg.
[c] *φασι* Bekker.
[d] *ποτὲ* om. B.C.
[e] *τινὸς*] *τινὰ* A.H.
[f] *συνοῦσι*] *συνιοῦσι* A.H.
[g] *μένοντας*] *ναίοντας* A.H. textu.
[h] *πεφασμένως*] *πεφεισμένως* A.B.C.H. cum Etymolog. M. p. 713, 13.

24 Διαφέρει δὲ τοῦ ἐπικηδείου ὁ θρῆνος· ὅτι τὸ μὲν ΕΠΙΚΗΔΕΙΟΝ παρ' αὐτὸ τὸ κῆδος, ἔτι τοῦ σώματος [i]προκειμένου, λέγεται· ὁ δὲ ΘΡΗΝΟΣ οὐ περιγράφεται χρόνῳ.

25 Τὰ δὲ λεγόμενα ΠΑΡΘΕΝΕΙΑ χοροῖς παρθένων ἐνεγράφετο· οἷς καὶ τὰ ΔΑΦΝΗΦΟΡΙΚΑ, ὡς εἰς γένος, πίπτει· δάφνας γὰρ [k]ἐν Βοιωτίᾳ δι' [l]ἐνναετηρίδος εἰς τὰ τοῦ Ἀπόλλωνος κομίζοντες οἱ ἱερεῖς ἐξύμνουν αὐτὸν [m]διὰ χοροῦ παρθένων. Καὶ ἡ αἰτία· τῶν [n]Αἰολέων ὅσοι κατῴκουν Ἄρνην καὶ τὰ [o]ταύτῃ χωρία, κατὰ χρησμὸν ἀναστάντες ἐκεῖθεν καὶ προσκαθεζόμενοι Θήβας ἐπόρθουν [p]προκατεχομένας ὑπὸ Πελασγῶν. [q]Κοινῆς ἀμφοῖν ἑορτῆς Ἀπόλλωνος ἐνστάσης ἀνοχὰς ἔθεντο, καὶ δάφνας [r]τεμόντες, οἱ μὲν ἐξ Ἑλικῶνος, οἱ δὲ ἐγγὺς τοῦ Μέλανος ποταμοῦ, ἐκόμιζον τῷ Ἀπόλλωνι. Πολεμάτας δὲ, ὁ τῶν Βοιωτῶν ἀφηγούμενος, ἔδοξεν ὄναρ νεανίαν τινὰ πανοπλίαν αὐτῷ διδόναι, καὶ εὐχὰς ποιεῖσθαι τῷ Ἀπόλλωνι δαφνηφοροῦντας διὰ ἐνναετηρίδος [s]προστάττειν· μετὰ δὲ τρίτην ἡμέραν ἐπιθέμενος κρατεῖ τῶν πολεμίων· καὶ αὐτός τε τὴν δαφνηφορίαν ἐτέλει, καὶ τὸ 348 ἔθος ἐκεῖθεν διατηρεῖται. Ἡ δὲ δαφνηφορία· ξύλον ἐλαίας καταστέφουσι δάφναις [t]καὶ ποικίλοις ἄνθεσι, καὶ ἐπ' ἄκρου μὲν χαλκῆ ἐφαρμόζεται σφαῖρα, ἐκ δὲ ταύτης μικροτέρας ἐξαρτῶσι· κατὰ δὲ τὸ μέσον τοῦ ξύλου, περιθέντες [u]ἐλάσσονα τῆς ἐπ' [x]ἄκρου σφαίρας,

[i] προκειμένου A. H. in textu. κειμένου B.C. H. in marg.

[k] ἐν Βοιωτίᾳ desunt H. marg. ut mox διὰ χοροῦ παρθένων. Paullo supra edendum curavi παρθενεῖα. Conf. Arist. Av. 920.

[l] ἐννεαετηρίδος A. et infra. ἐνναεταιρίδος B.C.

[m] διὰ χοροῦ παρθένων om. B.C.

[n] Sic A.H. ἐῴων B.C. H. in marg.

[o] ταύτῃ] Sic A. et H. cum ταύτης suprascripto. ταύτης B.C.

[p] προκατεχομένας A. H. textu. προσκαθεζομένας B.C. H. in marg.

[q] Κοινῶς] κοινῆς B.C.

[r] τεμόντες B.C. H. marg. τέμνοντες A.

[s] προστάττειν post ἐνναετηρίδος A. H. post ποιεῖσθαι al.

[t] καὶ om. B.C.

[u] Sic A. H. in textu. ἐλάσσονας τῆς ἐπ' ἄκρου τοῦ ξύλου B.C. H. in marg.

[x] ἄκρου] ἄκρῳ A.

καθάπτουσι πορφυρᾶ στέμματα· τὰ δὲ τελευταῖα τοῦ ξύλου περιστέλλουσι κροκωτῷ. Βούλεται δ' αὐτοῖς ἡ μὲν ἀνωτάτω σφαῖρα τὸν ἥλιον, ᾧ καὶ τὸν Ἀπόλλωνα ἀναφέρουσιν· ἡ δὲ ὑποκειμένη, τὴν σελήνην· τὰ δὲ προσηρτημένα τῶν σφαιρίων ἄστρα τε καὶ ἀστέρας· τὰ δέ γε στέμματα, τὸν ἐνιαύσιον δρόμον· καὶ γὰρ καὶ τξε´ ποιοῦσιν αὐτά. Ἄρχει δὲ τῆς δαφνηφορίας παῖς ἀμφιθαλής· καὶ ὁ μάλιστα αὐτῷ οἰκεῖος βαστάζει τὸ κατεστεμμένον ξύλον, ὃ [y] κωπὼ καλοῦσιν· αὐτὸς δὲ ὁ δαφνηφόρος ἑπόμενος τῆς δάφνης ἐφάπτεται, τὰς μὲν κόμας [yy] καθειμένος χρυσοῦν δὲ στέφανον φέρων, καὶ λαμπρὰν ἐσθῆτα ποδήρη ἐστολισμένος, [z] ἰφικρατίδας τε ὑποδεδεμένος· ᾧ χορὸς παρθένων ἐπακολουθεῖ, προτείνων κλῶνας πρὸς ἱκετηρίαν τῶν ὕμνων· παρέπεμπον δὲ τὴν δαφνηφορίαν εἰς Ἀπόλλωνος [a] Ἰσμηνίου καὶ Γαλαξίου.

26 *Τὸ δὲ* ΤΡΙΠΟΔΗΦΟΡΙΚῸΝ *μέλος τρίποδος προηγουμένου παρὰ τοῖς Βοιωτοῖς ᾔδετο. Ἔσχε δὲ καὶ τοῦτο αἰτίαν τοιαύτην. Πελασγῶν τινὲς Πάνακτον τῆς Βοιωτίας ἐπόρθουν· Θηβαῖοι δὲ ἤμυνον, καὶ πέμψαντες εἰς Δω-* 349
δώνην περὶ τῆς τοῦ πολέμου νίκης ἐχρῶντο· χρησμὸς δὲ τοῖς Θηβαίοις ἐξέπεσεν, ὡς, εἰ μέγιστον ἀσέβημα

[y] *κοπὼ* H. *κόπω* [sic A. pr.] non satis clare legebatur in altero Stephani codice; nec *κωπὼ*, quod in altero est, evidentem habet nominis rationem. SYLBURG.

[yy] *καθειμένος* A. *καθειμένας* edd.

[z] *ἐπικρατίδας* A.H. textu.

[a] *ἰσυνίου καὶ χαλαζίου* H. *ἰσμινίου καὶ γαλεξίου* B.C. Ismenii Apollinis meminit etiam Giraldus in Deorum historia: sed *γαλαξίου*, sive *χαλαζίου* [sic A.] nulla ibi mentio; quamquam illud, a lacteo candore: hoc a grandinis immissione tribui ei potuit. Nam ut lacteum candorem, ita et grandines interdum spargit: et *ἑκηβόλος* atque *ἑκατηβελέτης* cum aliis, tum hac ipsa de causa dictus videri potest. SYLBURG. Hesychius, *Γαλάξια, ἑορτὴ ἐν ᾗ ἕψουσι γαλαξίαν. ἔστι δὲ πόλτος κρίθινος ἐν γάλακτι.* Hoc festum Apollinis *τοῦ γαλαξίου* fuisse opinatur Meursius Gr. Feriat. p. 68. Sed frustra; ut ex MS. Rhet. apud Ruhnken. in Auctar. ad Hesych. abunde liquet. *Γαλάξια· ἑορτὴ Ἀθήνησι* ΜΗΤΡΙ ΘΕΩΝ *ἀγομένη.*

ἀσεβήσουσι, νικήσουσιν. Ἔδοξεν οὖν αὐτοῖς ἀσεβημάτων εἶναι μέγιστον [b]τὸ τὴν χρησμῳδήσασαν αὐτοῖς τὸν χρησμὸν ἀνελεῖν· καὶ ἀνεῖλον. Αἱ δὲ περὶ τὸ τέμενος συνιέρειαι δίκην λαβεῖν ἀπήτουν τοῦ φόνου τοὺς Θηβαίους. Θηβαῖοι δὲ οὐκ ἐπιτρέπουσι γυναιξὶ μόναις τὴν περὶ αὐτῶν [c]δίκην· κοινῆς δὲ κρίσεως ἀνδρῶν καὶ γυναικῶν γεγενημένης, καὶ τῶν ἀνδρῶν λευκὰς αὐτοῖς ἐπενεγκόντων ψήφους, ἀπέφυγον οἱ Θηβαῖοι· ὕστερον [d]δὲ ἐπιγνόντες αὐτοῖς τὸ ὑπὸ τοῦ χρησμοῦ προστασσόμενον, βαστάσαντες τῶν κατὰ τὴν Βοιωτίαν ἱερῶν [e]τριπόδων ἕνα, καὶ κατακαλύψαντες, ὡς ἱερόσυλοι, ἀνέπεμψαν εἰς Δωδώνην· εὐπραγήσαντες δὲ ἐξ ἐκείνου, τοῦ λοιποῦ τὴν πρᾶξιν ἑορτὴν ἐποίουν.

27 [f]Ὠσχοφορικὰ δὲ μέλη παρὰ Ἀθηναίοις ᾔδετο· τοῦ χοροῦ δὲ δύο νεανίαι, κατὰ γυναῖκας ἐστολισμένοι, [g]κλῆμα ἀμπέλου κομίζοντες μεστὸν εὐθαλῶν βοτρύων, (ἐκάλουν δὲ αὐτὸ ὦσχην, ἀφ᾽ οὗ καὶ τοῖς μέλεσιν ἡ ἐπωνυμία,) τῆς ἑορτῆς καθηγοῦντο. Ἄρξαι δὲ Θησέα φασὶ πρῶτον τοῦ ἔργου· ἐπεὶ γὰρ ἑκούσιος ὑποστὰς [h]τὸν εἰς Κρήτην πλοῦν ἀπήλλαξε τὴν πατρίδα τῆς κατὰ τὸν δασμὸν συμφορᾶς, χαριστήρια ἀποδιδοὺς Ἀθηνᾷ καὶ Διονύσῳ, οἳ αὐτῷ κατὰ τὴν νῆσον τὴν Δίαν 350 ἐπεφάνησαν, ἔπραττε τοῦτο δυσὶ νεανίαις ἐσκιατραφημένοις χρησάμενος πρὸς τὴν ἱερουργίαν ὑπηρέταις. Ἦν δὲ τοῖς Ἀθηναίοις ἡ παραπομπὴ ἐκ τοῦ Διονυσιακοῦ ἱεροῦ εἰς τὸ τῆς Ἀθηνᾶς τῆς [i]Σκιράδος τέμενος. Εἵπετο δὲ τοῖς νεανίαις ὁ χορὸς, καὶ ᾖδε τὰ μέλη· ἐξ ἑκάστης

[b] τὸ τὴν χ. α. om. B.C. H. marg.
[c] δίκην ἀξιοῦν A.H. sed deest H. marg.
[d] δὲ om. B.
[e] τριπόδων] Sic A.H. al. τρίποδα.
[f] ’ΩΣΧΟΦΟΡΙΚΑ’ A.H. et mox ὤσχην.
[g] κλῆμα] κλήματα B.C. κλῆμά τε —μεστὸν Meursius Gr. Fer. p. 220.
[h] τὸν] τῶν C.
[i] κειριάδος H. in textu. κειράδος A. Ἀθηνᾶν Σκιράδα Harpocrat. v. Σκίρον.

δὲ φυλῆς ἔφηβοι διημιλλῶντο πρὸς ἀλλήλους δρόμῳ· καὶ τούτων ὁ πρότερος ἐγεύετο ἐκ τῆς πενταπλῆς λεγομένης φιάλης, ἣ συνεκιρνᾶτο ἐλαίῳ, καὶ οἴνῳ, καὶ μέλιτι, καὶ τυρῷ, καὶ ἀλφίτοις.

28 Εὐκτικὰ δὲ μέλη ἐγράφετο τοῖς αἰτουμένοις τι παρὰ θεοῦ γενέσθαι.

29 Πραγματικὰ δὲ, ἃ τινῶν περιεῖχε πράξεις.

30 Ἐμπορικὰ δὲ, ὅσα κατὰ τὰς ἀποδημίας καὶ [k]ἐμπορείας ἐπιδεικνύμενά τισιν ἐγράφη.

31 [l]Ἀποστολικὰ δὲ, ὅσα [m]διαπεμπόμενοι πρός τινας ἐποίουν.

32 Τὰ δὲ γνωμολογικὰ δῆλον ὅτι παραίνεσιν ἠθῶν ἔχει.

33 Καὶ τὰ γεωργικὰ δὲ, χώρας καὶ φυτῶν καιροὺς καὶ [n]ἐπιμελείας.

34 Καὶ τὰ ἐπισταλτικὰ δὲ, ὅσα κατ' ἐντολὰς πρός τινας ποιοῦντες [o]διέπεμπον.

[p]Οἱ δὲ δύο λόγοι τῆς Πρόκλου γραμματικῆς χρηστομαθίας ἐν [q]τούτοις.

[k] ἐμπορίας] ἐμπορείας A.H.

[l] καὶ ἀποστ. B.C.

[m] διαπεμπόμενα H. marg. B.C.

[n] Post ἐπιμελείας subaudiendum ἔχει, aut aliud hujusmodi verbum. SYLBURG. ἐπιμελεία B.C.

[o] Sic H. textu. ἐξέπεμπον marg. B.C.

[p] οἱ δὲ] οἱ μὲν B.C.

